ΙΕΡΑΤΙΚΟΝ
Α΄

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ
ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ



ΕΚΔΟΣΙΣ
ΙΕΡΑΣ ΜΟΝΗΣ ΣΙΜΩΝΟΣ ΠΕΤΡΑΣ
ΑΓΙΟΝ ΟΡΟΣ

ΙΕΡΑΤΙΚΟΝ Α'


IC XC
Ὁ ὬΝ
Ὁ Μέγας Ἀρχιερεύς
Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ κόσμου τούτου
Λάβετε φάγετε τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν

ΙΕΡΑΤΙΚΟΝ

Α΄

περιέχον ἅπασαν τὴν τοῦ Ἱερέως διάταξιν
εἰς τὸν Ἑσπερινόν, τὸν Ὄρθρον καὶ τὴν

ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ


ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Ὡς καὶ εἰς ἑτέρας ἱερὰς ἀκολουθίας καὶ τελετὰς



ΙΒ΄ Ἔκδοσις

ΕΚΔΟΣΙΣ
ΙΕΡΑΣ ΜΟΝΗΣ ΣΙΜΩΝΟΣ ΠΕΤΡΑΣ
ΑΓΙΟΝ ΟΡΟΣ 2024



Ὁσιώτατοι ὅ τε Ἡγούμενος Ἀρχιμανδρίτης κύριος Αἰμιλιανός καί οἱ λοιποί Πατέρες τῆς ἐν Ἁγίῳ Ὄρει Ἱερᾶς καθ' ἡμᾶς Πατριαρχικῆς καί Σταυροπηγιακῆς Μονῆς Σίμωνος Πέτρας, τέκνα ἐν Κυρίῳ ἀγαπητά τῆς ἡμῶν Μετριότητος, χάρις εἴη τῇ ὑμῶν Ὁσιότητι καί εἰρήνη παρά Θεοῦ.

Χριστός Ἀνέστη!


Ἀσμένως ἐλάβομεν καί ἀνέγνωμεν τό ἀπό τῆς ιε' Φεβρουαρίου ἐ.ἔ. γράμμα τῆς ἀγαπητῆς ἡμῖν Ὁσιότητος ὑμῶν, ὑποβαλλούσης, ἐν λεπτομερείαις, περί τῆς προγραμματιζομένης καί λίαν συντόμως ἐκδοθησομένης τύποις τριτόμου Λειτουργικῆς Φυλλάδος, ἥτις θά περιλαμβάνῃ τάς καθ' ἡμέραν ἱεράς ἀκολουθίας, συμφώνως τῷ ἐπικρατοῦντι ἔκπαλαι ἐν τῷ Ὄρει τῷ Ἁγίῳ τυπικῷ, πρός χρῆσιν ὑπό τῶν αὐτόθι καί ἁπανταχοῦ λειτουργῶν.

Μετά πολλῆς χαρᾶς καί πατρικῆς συγκινήσεως προαγόμεθα διά τῶν μετά χεῖρας Πατριαρχικῶν ἡμῶν Γραμμάτων ἵνα ἐκφράσωμεν τῇ Ὁσιότητι ὑμῶν θερμά συγχαρητήρια ἐπί τῇ ὄντως θεαρέστῳ πρωτοβουλίᾳ ταύτῃ, λίαν δέ ἐποικοδομητικῇ διά τήν ἀρτιωτέραν διακονίαν τοῦ Ἱεροῦ Θυσιαστηρίου τόσον ἐντός ὅσον καί ἐκτός τοῦ Ἱεροῦ Ἄθω, καί ἅμα τόν δίκαιον ἔπαινον καί τήν ἐπί τούτῳ εὐαρέσκειαν τῆς Μητρός Ἐκκλησίας καί ἡμῶν προσωπικῶς, ἰδιαιτέρως τῷ κοπιάσαντι ἀδελφῷ ὑμῶν Ἱερολογιωτάτῳ καί ἀγαπητῷ ἡμῖν Διακόνῳ Ἱερωνύμῳ καί τοῖς λοιποῖς συνεργάταις αὐτοῦ.

Θερμῶς εὐχαριστοῦντες τῇ προσφιλεῖ Ὁσιότητι ὑμῶν καί ἐπί τῇ ἀποστολῇ πέντε ἀντιτύπων τῆς β' ἐκδόσεως τοῦ Ἱεροδιακονικοῦ, ἀπονέμομεν ὑμῖν ὁλόθυμον τήν Πατριαρχικήν καί πατρικήν ἡμῶν εὐλογίαν, ἐπευχόμενοι ὅπως ὁ Ἀναστάς παντοκράτωρ Κύριος καί ἡ Κυρία Θεοτόκος, Ἔφορος τῆς Πόλεως καί τοῦ Ἱεροῦ Τόπου, διαφυλάττουν πάντας ὑμᾶς ἐν τῇ θεοφιλεῖ νυχθημέρῳ διακονίᾳ τῶν αὐτόθι ἱερῶν καί ὁσίων.

,βα' Μαΐου ιδ'.

Ὁ Κωνσταντινουπόλεως Βαρθολομαῖος διάπυρος πρὸς Θεὸν εὐχέτης



Ὁσιώτατοι ὅ τε Ἡγούμενος Ἀρχιμανδρίτης κύριος Αἰμιλιανός καί οἱ λοιποί Πατέρες τῆς ἐν Ἁγίῳ Ὄρει καθ' ἡμᾶς Ἱερᾶς Πατριαρχικῆς καί Σταυροπηγιακῆς Μονῆς Σίμωνος Πέτρας, τέκνα ἐν Κυρίῳ ἀγαπητά τῆς ἡμῶν Μετριότητος, χάρις εἴη τῇ ὑμῶν Ὁσιότητι καί εἰρήνη παρά Θεοῦ.

Κομισάμενοι μετά πολλῆς πατρικῆς ἀγάπης ἀλλά καί συγκινήσεως ἀνέγνωμεν τό ἀπό τῆς ε' Μαρτίου ἐ.ἔ. γράμμα τῆς ἀγαπητῆς ἡμῖν Ὁσιότητος ὑμῶν, δι' οὗ αὕτη τό μέν ὑποβάλλει φιλοστόργως τῇ ἡμετέρᾳ Μετριότητι περί τῆς πρόφρονος ἀποστολῆς πέντε σειρῶν τοῦ τύποις ἐκδοθέντος τριτόμου "Ἱερατικοῦ", ἐπιμελείᾳ τοῦ καί τό Ἱεροδιακονικόν προηγουμένως μετά πολλῆς ἐπιτυχίας ἐπιμεληθέντος ἐκ τῶν σύν ὑμῖν ἀδελφῶν Ὁσιολογιωτάτου Ἱερομονάχου π. Ἱερωνύμου, τό δέ αἰτεῖται εὐλαβῶς καί τήν ἡμετέραν ἐπί τῇ τοιαύτῃ ἐπιμεμελημένῃ ἐκδόσει εὐλογίαν εἰς ἀνανέωσιν τρόπον τινά τῆς ἥν καί ὁ ἀοίδιμος προκάτοχος ἡμῶν μακαριστός ἐν Πατριάρχαις Δημήτριος εἶχεν ἐπιδαψιλεύσει διά τήν μετά χεῖρας ἔκδοσιν σεπτῆς αὐτοῦ εὐλογίας.

Ἐπί τήν ἀπάντησιν οὖν ἥκοντες ἐπιθυμοῦμεν ἵνα πρῶτον μέν εὐχαριστήσωμεν θερμῶς ἐπί τῇ πνευματικῇ προσφορᾷ ταύτῃ τῆς καθ' ὑμᾶς περιπύστου Ἱερᾶς Μονῆς, συγχαίροντες ἅμα καί ἐπί τῇ νέᾳ εὐλογημένῃ περί τά καθ' ἡμᾶς λειτουργικά γράμματα μερίμνῃ καί ἐπιδόσει, ἐν συνεχείᾳ δέ βεβαιώσωμεν ὑμᾶς περί τῆς ὀφειλετικῆς προστασίας ἐκ μέρους ἡμῶν προσωπικῶς καί τῆς Μητρός Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας τῶν ἐκδόσεων τούτων, τῶν ὁποίων τήν ἀπόκτησιν εὐχαρίστως συνιστῶμεν τῷ ἱερῷ κλήρῳ ἐπί μεγαλυτέρᾳ τῆς θείας λατρείας προαγωγῇ.

Ἡ σπουδαιότης, ἄλλωστε, τῶν ἐν προκειμένῳ ἐκδόσεων τυγχάνει ἀφ' ἑαυτῆς δεδομένη ὡς ἐκ τοῦ ἀντικειμένου εἰς ὅ αὗται ἀναφέρονται, τήν ὀρθήν δηλαδή καί θεοπρεπῆ τέλεσιν τῆς θείας λατρείας, ἀποτελούσης τό ἱερόν κέντρον καί τήν ἁγιάζουσαν πηγήν πάσης ἐν τῇ Ἐκκλησίᾳ δράσεως καί ζωῆς, καθότι ἡ ἱερατική ἐν γένει τάξις τυγχάνει αὐτή αὕτη ἡ θεόσδοτος δωρεά, δι' ἧς ὁ Κύριος ἡμῶν ηὐδόκησεν ἵνα ἁγιάζηται καί καθοδηγῆται εἰς σωτηρίαν

ὁ κόσμος μέχρι τῆς δευτέρας Αὐτοῦ καί φρικτῆς Παρουσίας, καί μάλιστα διότι ὁ ἄνθρωπος οὐδεμίαν ἄλλην δύναμιν ἔχει τόσον δραστικήν καί σωτήριον ὅσον τήν προσευχήν καί τήν λατρείαν.

Ὅθεν, ἀπό καρδίας συγχαίρομεν τόσον τῇ Ὁσιότητι ὑμῶν διά τάς ἑκάστοτε ἀναλαμβανομένας τοιαύτας εὐρύτερον ἐπωφελεῖς πρωτοβουλίας, ὅσον καί ειδικώτερον τῷ ὀτηρῷ ἀδελφῷ τῆς Ἱερᾶς ὑμῶν Μετανοίας Ὁσιολογιωτάτῳ Ἱερομονάχῳ κυρίῳ Ἱερωνύμῳ, τῷ μετά τοσαύτης ἐπιμελείας συνεργασθέντι μετά τοῦ διαπρεποῦς Λειτουργιολόγου καί Διευθυντοῦ τοῦ ἐν Θεσσαλονίκῃ Πατριαρχικοῦ Ἱδρύματος Πατερικῶν Μελετῶν Ἄρχοντος Μ. Χαρτουλαρίου τῆς καθ' ἡμᾶς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας Ἐντιμολογιωτάτου κυρίου Ἰωάννου Φουντούλη, εἰς ἐπίτευξιν τῆς λαμπρᾶς ἐκδόσεως, ἥτις μέλλει ἵνα ἀποτελέσῃ σταθμόν εἰς τά καθ' ἡμᾶς λειτουργικά πράγματα.

Ἀπονέμοντες δ' ἐπί τούτοις τῇ προσφιλεῖ Ὁσιότητι ὑμῶν ὁλόθυμον τήν πατρικήν καί Πατριαρχικήν ἡμῶν εὐλογίαν, ἐπικαλούμεθα ἐπ' αὐτήν τήν χάριν, τό ἄπειρον ἔλεος καί τά δωρήματα τοῦ ἀγαθοδότου Μυσταγωγοῦ καί Μεγάλου Ἀρχιερέως Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

αϡπβ' Ἰουλίου ιε'.

† ὁ Κωνσταντινουπόλεως Δημήτριος διάπυρος πρὸς Θεὸν εὐχέτης

Πρόλογος

Καθημερινῶς καί, ἰδίᾳ, κατὰ τὰς Κυριακὰς καὶ τὰς ἑορτασίμους ἡμέρας βλέπομεν νὰ συναθροίζωνται οἱ πιστοὶ διὰ νὰ κυκλώσουν τὰ θυσιαστήρια «ἕως τῶν κεράτων» αὐτῶν. Τοῦτο δὲ συνιστᾷ μίαν ποιμαντικὴν εὐθύνην διὰ τοὺς λειτουργοὺς τῆς Ἐκκλησίας. Καὶ ὅσον πληροῦνται οἱ ναοί μας, τοσοῦτον οἱ χριστιανοί μας ἐν συγκινητικῇ ἀποδοχῇ ἀναμένουν τὸν ἄρτον καὶ τὸν οἶνον, τὸν αἶνον καὶ τὸν λόγον, τὸν ἑνόντα Θεόν.

Ὡσαύτως εἶναι κοινὴ ἀναγνώρισις τῆς ἀνάγκης, ὅσον ἔνεστι, κριτικωτέρας ἐκδόσεως τύποις τῶν λειτουργικῶν κειμένων. Τοῦτο χρειάζεται ἐκκλησιαστικὸν σεβασμόν, ὥστε νὰ κρατηθῇ ἀλώβητος ἡ λειτουργικὴ παράδοσις, ὡς διετηρήθη ἕως σήμερον, ἐμφοροῦσα τοὺς τύπους καὶ τὴν οὐσίαν τῆς πολιᾶς ἀρχαιότητος, βάσει τῶν ἀρχαίων λειτουργικῶν κωδίκων καὶ τῶν κατὰ καιρὸν τυπωθεισῶν ἱερατικῶν φυλλάδων, κατά τε τὴν ἁγιορειτικὴν τάξιν καὶ τὴν ἐν τῷ κόσμῳ καὶ δὴ ἐν τῇ πατριαρχικῇ τάξει τοῦ Οἰκουμενικοῦ Πατριαρχείου καὶ ἐν τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ τῆς Ἑλλάδος.

Εἰς τὴν παροῦσαν ἔκδοσιν ἐχρησιμοποιήθησαν κυρίως κώδικες τοῦ Ἁγίου Ὄρους, τοῦ θεοβαδίστου ὄρους Σινᾶ καὶ τῶν Μετεώρων. Ἐλάβομεν ἐπίσης ὑπ' ὄψει τὴν Διάταξιν τῆς θείας Λειτουργίας τοῦ ἁγίου Φιλοθέου τοῦ Κοκκίνου, τῶν Τυπικῶν Δμητριέφσκυ καὶ Γκόαρ, τῆς κριτικῆς ἐκδόσεως τῶν τριῶν θείων Λειτουργιῶν τοῦ ἀειμνήστου καθηγητοῦ Π. Τρεμπέλα, τῶν κειμένων τοῦ λειτουργιολόγου καθηγητοῦ κ. Ἰωάννου Φουντούλη κ.ἄ.

Τὸ ἀνὰ χεῖρας τρίτομον Ἱερατικὸν περιέχει: Α΄ τόμος - θ. Λειτουργία τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, Β΄ τόμος - θ. Λειτουργία τοῦ Μ. Βασιλείου, Γ΄ τόμος - θ. Λειτουργία τῶν Προηγιασμένων. Ἕκαστος ἐκ τῶν τριῶν τόμων περιλαμβάνει τὴν μίαν ἐπώνυμον Λειτουργίαν μετὰ τῶν συνεπομένων ἱερῶν ἀκολουθιῶν, διατάξεων καὶ εὐχῶν. Ἡ ἔκδοσις, ἐγκρίσει τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, ἀποσκοπεῖ εἰς τὴν διευκόλυνσιν τῶν λειτουργῶν τοῦ ἱεροῦ θυσιαστηρίου διὰ τοῦ εὐχρήστου σχήματος καὶ τῆς σαφοῦς κατατάξεως τῆς ὕλης.

Ἑκάστη Λειτουργία ἔχει τὸν ἑαυτῆς χαρακτῆρα καὶ προσδίδει ἓν ἴδιον βίωμα. Ἐπὶ παραδείγματι ἡ θ. Λειτουργία τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου εἶναι ἡ εὐχρηστοτέρα καθημερινὴ καὶ ζωηρά, ἄνετος, οἰκεία, τρέχουσα καὶ γέμουσα πνευματικοῦ ἡλιόφωτος. Ἡ τοῦ Μ. Βασιλείου σοῦ δημιουργεῖ μίαν λογικὴν καὶ διαυγῆ ἀνάνηψιν, μία βασιλοπρεπῆ πορείαν εὐμενῶς περικυκλοῦσαν τοὺς ἀγαθούς, τοὺς πονηρούς, τὰ νήπια, τὴν νεότητα, τὸ γῆρας, τοὺς ὀλιγοψύχους, τοὺς ἐσκορπισμένους, τοὺς πεπλανημένους, τοὺς ἀβοηθήτους, τοὺς ἀπηλπισμένους καὶ πάντας τοὺς δεομένους τῆς μεγάλης τοῦ Θεοῦ εὐσπλαγχνίας. Καὶ ἡ λεγομένη θεία Λειτουργία τῶν Προηγιασμένων εἶναι ἡ πλέον ἐπίκαιρος καὶ πρόσφορος καταφυγὴ τοῦ ἀνθρώπου εἰς τὸν Θεὸν διὰ τῆς ἐμπιστοσύνης εἰς αὐτὸν καὶ τῆς οὐρανίου δωροδοσίας. Ἐν αὐτῇ ὁ ἄνθρωπος γεύεται γλυκείας καὶ λυτρωτικῆς θαλπωρῆς, δέχεται ἀγωγὴν θεϊκὴν καὶ χαίρεται τὴν καθημερινὴν μεταστροφήν του, ἄχρι τῆς ἐν καινότητι «Ἀναστάσεως ἡμέρας».

Ἡ προσπάθεια καὶ ἡ ἐπιμέλεια ὀφείλεται εἰς τὸν ἡμέτερον ἱερομόναχον π. Ἱερώνυμον, ὅστις ἀνέλαβε τὴν μελέτην τῶν πηγῶν καὶ τῶν βοηθημάτων, ὥστε νὰ πραγματοποιηθῇ τὸ ἐκδοτικὸν τοῦτο ἐγχείρημα.

Μεγάλως ὅμως ἐβοήθησεν, ὡς εἰκός, ὁ ἐλλογιμώτατος διαληφθεὶς ἔμπειρος καθηγητὴς κ. Ἰω. Φουντούλης, ἐκθύμως σχολιάσας εἰσαγωγικῶς τὴν ἔκδοσιν, βοηθήσας καὶ ἐποπτεύσας αὐτὴν ἐκ τοῦ περισσεύματος τῶν γνώσεών του ἀπὸ τὰς ὡς διφήτορος ἐρεύνας, πρὸς ὃν ἐκφράζομεν καὶ τὴν πολλὴν εὐχαριστίαν ἡμῶν.

Ὁ προφήτης Ὠσηὲ μετὰ πολλῆς ποτὲ θλίψεως ἐσημείωσεν: «Ἔκρυψαν ἱερεῖς ὁδὸν Κυρίου» (στ΄, 9). Τουτέστιν, ἔκρυψαν καὶ διέστρεψαν τὴν ὁδὸν τοῦ Κυρίου. Αὐτὰ τότε.

Σήμερον ὅμως ἠμποροῦμεν νὰ λέγωμεν: Εὐλογητὸς ὁ Θεός. Διότι οἱ ἱερεῖς ὁσημέραι καλλιεργοῦν τὴν λειτουργικὴν ζωήν, ἀναπτύσσουν θαρραλέον φρόνημα, ἀναπυρσεύουν τὸ φῶς τὸ ἀληθινὸν καὶ προσδίδουν θαλερότητα καὶ ὡρίμανσιν εἰς τὸ ἐκκλησίασμα, τὸ ὁποῖον ἐμπνέεται καὶ αἰσθάνεται, ὅτι «Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν».

Ὅθεν, εὐχαριστοῦντες τῷ Θεῷ, μεταλλάσσομεν φιλοθέρμως τὴν φράσιν τοῦ προφήτου μας: Ἂς ἀποκαλύπτωμεν ἐκφαντορικῶς - οἱ ἱερεῖς - τὴν ὁδὸν τοῦ Κυρίου.

Ἔγραφον τῇ 13η Νοεμβρίου 1991, ἑορτῇ τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κων/λεως τοῦ Χρυσοστόμου.

Ὁ Καθηγούμενος τῆς Ἱερᾶς Μονῆς Σίμωνος Πέτρας

Ἀρχιμανδρίτης Αἰμιλιανὸς

Εἰσαγωγικὸν σημείωμα

Ἡ πρὸ τριετίας ἔκδοσις τοῦ «Ἱεροδιακονικοῦ» (1989) ἀπετέλεσε κατ' οὐσίαν τὸ πρῶτον δοκιμαστικὸν βῆμα πρὸς τὴν κατεύθυνσιν καὶ τὸν ὑψηλὸν στόχον τῆς ἐκδόσεως τῶν λειτουργικῶν βιβλίων. Τὸ λειτουργικὸν ἐκεῖνο βιβλίον καὶ διὰ τὴν μικρὰν ἔκτασιν καὶ διὰ τὴν πρακτικὴν ἀνάγκην καὶ διὰ τὸν σχετικῶς περιωρισμένον ἀριθμὸν τῶν συνακολουθούντων τὴν ἐπιστασίαν αὐτοῦ προβλημάτων, προσεφέρετο περισσότερον ἢ ἄλλο λειτουργικὸν βιβλίον διὰ τὴν ὑπέρβασιν τῶν δυσχερειῶν τῆς ἀρχῆς καὶ τὴν σφυγμομέτρησιν τῶν ἐντυπώσεων τῶν εἰδότων καὶ πονούντων διὰ τὴν βελτίωσιν τῶν ἐκδόσεων τῶν λειτουργικῶν μας δέλτων. Ἤδη δὲ ἡ ἐκθύμως παρασχεθεῖσα εὐλογία καὶ ἐνθάρρυνσις τῆς ἁγιωτάτης Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας καὶ αἱ καλαὶ κρίσεις καὶ ἐπιδοκιμασίαι πολλῶν πατέρων καὶ ἀδελφῶν, ἀκόμη δὲ καὶ ἡ εἰς σύντομον χρόνον ἐξάντλησις τῆς πρώτης, σχεδὸν δὲ καὶ τῆς δευτέρας ἐκδόσεως αὐτοῦ, εἶναι ἀσφαλῆ δείγματα ὅτι ἡ προσπάθεια αὐτὴ δὲν τρέχει ἢ δὲν ἔδραμεν «εἰς κενόν». Τὸ δεύτερον λοιπὸν σοβαρώτερον βῆμα, μὲ τὴν εὐλογίαν τοῦ Παναγιωτάτου Πατριάρχου καὶ τὰς εὐχὰς τῶν ἁγίων Πατέρων, γίνεται, μὲ φόβον Θεοῦ καὶ συναίσθησιν τῆς φοβερᾶς εὐθύνης, πρὸς τὸ «Ἱερατικόν». Ὁ δὲ Κύριος βοηθὸς εἰς τὴν προαίρεσιν ἡμῶν. Αὕτη δὲν εἶναι ἄλλη, εἰ μὴ ἡ δόξα τοῦ Θεοῦ καὶ ἡ εὐταξία τῆς Ἐκκλησίας Αὐτοῦ.

★

Τὸ «Ἱερατικόν», «Λειτουργικόν», «Αἱ θεῖαι Λειτουργίαι» ἢ ὅπως ἄλλως ἐπιγράφεται τὸ λειτουργικὸν τοῦτο βιβλίον εἰς τὰ χειρόγραφα καὶ εἰς τὰ ἔντυπα, ἀποτελεῖ τὴν ἀντιπροσωπευτικωτέραν περίπτωσιν λειτουργικοῦ κειμένου, ἡ ἔκδοσις τοῦ ὁποίου ὀφείλει νὰ ἀντιπαλαίσῃ πρὸς ἀναριθμήτους δυσχερείας καὶ νὰ δώσῃ τὰς κατὰ τὸ δυνατὸν ἐπι-

τυχεστέρας καὶ ἀκριβεστέρας λύσεις εἰς αὐτάς. Τοῦτο ὀφείλεται εἰς τὸ περιεχόμενον αὐτοῦ, τὰς θείας δηλαδὴ λειτουργίας, αἱ ὁποῖαι ἀποτελοῦν ἀπ' ἀρχῆς τὸ κέντρον τῆς ζωῆς τῆς Ἐκκλησίας. Ἡ καθημερινὴ σχεδὸν τέλεσις αὐτῶν εἰς πάντα τόπον τῆς δεσποτείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπὶ ἑκατοντάδας ὁλοκλήρους ἐτῶν δὲν ἦτο δυνατὸν παρὰ νὰ ἔχῃ ἐπιπτώσεις ἐπὶ τῆς διατάξεως αὐτῶν, παρὰ τὴν ἐξιδιασμένην εὐλάβειαν καὶ τὴν συνακολουθοῦσαν συντηρητικότητα τῶν ὑπευθύνων φορέων τῆς τελεσιουργίας, ἐνίοτε δὲ καὶ λόγῳ αὐτῆς. Ἄμεσον δὲ ἐπακόλουθον τῆς ῥηθείσης πρακτικῆς ἀνάγκης ἦτο καὶ εἶναι ἡ ὕπαρξις δυσεξαριθμήτων χειρογράφων, κωδίκων καὶ εἰληταρίων, τῶν ὁποίων μέρος μόνον σώζεται εἰς τὰς Μονὰς καὶ τὰς μεγάλας ἢ μικρὰς ἀνὰ τὸν κόσμον συλλογὰς καὶ βιβλιοθήκας χειρογράφων. Κάτι ἀνάλογον συμβαίνει καὶ μὲ τὰς ἐντύπους ἐκδόσεις ἀπὸ τῆς ἀνακαλύψεως τῆς τυπογραφίας μέχρι σήμερον. Αἱ ἔντυποι δὲ αὗται ἐκδόσεις, φιλοτίμως βεβαίως καὶ ἀξιεπαίνως γινόμεναι, ἀντὶ νὰ ἐξομαλύνουν, συνήθως περιπλέκουν τὰ πράγματα, ἰδίως ὅταν φιλοτιμῶνται οἱ ἐκδόται καὶ οἱ ἐπιμελούμενοι αὐτὰς νὰ ὑπερβοῦν τὰς προηγουμένας προσπαθείας καὶ νὰ προσφέρουν ὅ,τι πληρέστερον, ἀκριβέστερον καὶ διεξοδικώτερον ἐνόμιζον χρήσιμον διὰ τὴν ἀπρόσκοπτον τέλεσιν τῶν ἱερῶν λειτουργιῶν. Διὰ τοὺς αὐτοὺς λόγους τὸ ἀρχικὸν περιεχόμενον τοῦ βιβλίου αὐτοῦ ἐπηυξάνετο συνεχῶς μὲ τὴν προσθήκην καὶ ἄλλων ἀκολουθιῶν, ἀναμφισβητήτως χρησίμων καὶ ἀμέσως ἢ ἐμμέσως συνδεομένων πρὸς τὴν θείαν λειτουργίαν, ὡς τοῦ Ἑσπερινοῦ, τοῦ Ὄρθρου, τοῦ μεγάλου ἁγιασμοῦ, τῆς γονυκλισίας τῆς Πεντηκοστῆς, τοῦ ἐξοδιαστικοῦ καὶ τῶν μνημοσύνων, μηνολογίου, ὡς καὶ ἰδιωτικῶν ἀκολουθιῶν εὐλαβείας, ὡς τῆς πρὸ καὶ μετὰ τὴν θείαν μετάληψιν, εἰς ἱερέα ἐνυπνιασθέντα καὶ τὰ ὅμοια, ὡς καὶ ποικίλων εὐχῶν εἰς διαφόρους περιστάσεις. Παρὰ τὴν

πραγματικὴν ἢ ὑποτιθεμένην πρακτικὴν ἀνάγκην συγκεντρώσεως ὅλων αὐτῶν τῶν κειμένων εἰς εὔχρηστον βιβλίον, κατ' οὐσίαν εἰς τὰς πλείστας τῶν περιπτώσεων πρόκειται περὶ οὐσιαστικοῦ ἐκτροχιασμοῦ ἀπὸ τῆς ἀρχικῆς παραδόσεως τοῦ «Λειτουργικοῦ» εἰς ἕτερον γένος, εἰς ἓν εἶδος ἱερατικοῦ πανδέκτου ἢ μικροῦ Εὐχολογίου. Εἰς ὅλα αὐτὰ προστίθεται καὶ ἡ ἀνωτέρω σημειωθεῖσα τάσις ἐπαυξήσεως τῶν τυπικῶν διατάξεων εἰς αὐτὴν τὴν θείαν λειτουργίαν, ἰδίᾳ τὴν εὐχρηστοτέραν, δηλαδὴ τὴν τοῦ ἱεροῦ Χρυσοστόμου, καὶ τὴν προσθήκην εἰς αὐτὴν ποικίλων εὐλαβῶν κατὰ τὰ ἄλλα παρεμβολῶν, ἰδίᾳ ψαλμικῶν στίχων ἢ καὶ ψαλμῶν ὁλοκλήρων ὡς καὶ δεκάδων τινῶν σχετικῶν ἢ ἀσχέτων τροπαρίων. Πρὸ μιᾶς τοιαύτης συγχύσεως θὰ διηρωτᾶτό τις ἂν εἶναι εὐκταία ἡ ἐπιστροφὴ εἰς τὴν ἀρχικὴν μορφὴν τοῦ «Ἱερατικοῦ» τῶν παλαιῶν χειρογράφων καὶ τῶν πρώτων ἐντύπων, τοῦ περιέχοντος μόνον τὰς τρεῖς βυζαντινὰς λειτουργίας καὶ αὐτὰς μὲ ἐλαχίστας διατάξεις καὶ τὰς διαφωτιστικὰς ἐπιγραφὰς τῶν ἐπὶ μέρους εὐχῶν. Ὁ νοῦς τῆς ἀρχικῆς αὐτῆς παραδόσεως ἦτο ὅτι ὁ ἱερεὺς ἀφ' ἑνὸς μὲν δὲν ἀναμένει κατὰ τὴν τέλεσιν τῆς θείας λειτουργίας νὰ μάθῃ πῶς θὰ τελῇ αὐτήν, ἀναγινώσκων ἀκαίρως τὰς μακροτάτας διατάξεις, ἀλλὰ γνωρίζει ἐκ παραδόσεως καὶ ἐξ ἀκριβοῦς προλαβούσης διδασκαλίας καὶ ἐμπειρίας τὴν τάξιν καὶ τὸ ἀνὰ χεῖρας κατὰ τὴν ὥραν τῆς τελεσιουργίας βιβλίον τῷ προσφέρει τὰς εὐχάς. Ἀφ' ἑτέρου δὲ ὅτι τό «Λειτουργικὸν» προορισμὸν ἔχει μόνον τὴν θείαν λειτουργίαν καὶ κατ' οὐδένα τρόπον δὲν ὑποκαθιστᾷ ἢ ἀνθολογεῖ τὰ ἄλλα ἐν χρήσει λειτουργικὰ βιβλία. Εἰς τὰ ἀνωτέρω ἂς προστεθοῦν καὶ ὅσα εἰς τὴν εἰσαγωγὴν τοῦ «Ἱεροδιακονικοῦ» ἐξετέθησαν περὶ τῶν ἀνακυπτόντων κατὰ τὴν μὴ συνιερουργίαν διακόνου προβλημάτων καὶ τήν, μὲ τὴν προοπτικὴν ταύτην τῆς συνηθεστέρας κατὰ τοὺς νεωτέρους αἰῶνας πράξεως, μίξιν εἰς τὸ «Ἱερατικὸν» καὶ τοῦ

«Διακονικοῦ» καὶ τῶν ἐντεῦθεν ἀνακυπτουσῶν εἰς τὴν τάξιν παλαιοτέρων ἢ καὶ νεωτέρων τελετουργικῶν ἐμπλοκῶν.

★

Ἡ Μεγάλη τοῦ Χριστοῦ Ἐκκλησία καταρτίσασα κατὰ τὸ 1932 μεγάλην ἐπιστημονικὴν ἐπιτροπὴν προεδρευομένην ὑπὸ λογιωτάτου ἀνδρός, τοῦ τότε μητροπολίτου Τραπεζοῦντος Χρυσάνθου, καὶ ἀποτελουμένην ἀπὸ εἰδικώτατα καὶ ἐπιφανέστατα μέλη, ἐστόχευεν εἰς τὴν διόρθωσιν κατὰ πρῶτον λόγον καὶ ἐπιμελεστέραν ἔκδοσιν τῶν λειτουργικῶν βιβλίων καὶ κατὰ δεύτερον εἰς τὴν ἀναθεώρησιν αὐτῶν διὰ τῆς μελέτης καὶ ἀξιοποιήσεως τῆς χειρογράφου παραδόσεως, τοῦ πλούτου δηλαδὴ τῶν λειτουργικῶν χειρογράφων, ἐν μακροπροθέσμῳ βεβαίως προγραμματισμῷ. Αἱ παρεμβληθεῖσαι δυσμενεῖς περιστάσεις οὐσιαστικῶς ἠμπόδισαν τὴν λειτουργίαν τῆς ἐπ αἰσίαις προοπτικαῖς καὶ προσδοκίαις συσταθείσης τότε ἐπιτροπῆς. Τὸ μόνον σχεδόν, ἀλλὰ καὶ μέγα, ὅπως ἀπεδείχθη ἐκ τῶν πραγμάτων, ἐπίτευγμα, ἦτο ἡ ὑπὸ τῆς ἐπιτροπῆς αὐτῆς κατὰ τὸ 1935 ἔκδοσις ἔργου θαυμαστῆς φιλοπονίας τοῦ κατόπιν καθηγητοῦ Παναγιώτου Τρεμπέλα, μέλους τότε τῆς ἐπιτροπῆς ἐκείνης. «Αἱ τρεῖς Λειτουργίαι κατὰ τοὺς ἐν Ἀθήναις κώδικας». Ἡ ἔκδοσις ἐκείνη, καίτοι ἐστηρίχθη εἰς μόνα τὰ Ἀθηναϊκὰ χειρόγραφα, ὡς καὶ ὁ ὑπότιτλός της δηλοῖ, ἀπετέλεσε σταθμὸν εἰς τὴν ἐκδοτικὴν προσπάθειαν τῶν λειτουργικῶν μας κειμένων, ὁ ὁποῖος παρὰ τὴν πάροδον ἡμίσεος καὶ πλέον αἰῶνος δὲν παρηυδοκιμήθη. Καὶ τοῦτο διότι καὶ πολλὰ ἦσαν τὰ χρησιμοποιηθέντα χειρόγραφα, ὁ ἀριθμὸς τῶν ὁποίων ὑπερέβαινε τὰ ὀγδοήκοντα, καὶ παραλλήλως ἐλήφθησαν ὑπ ὄψιν καὶ ἄλλοι κώδικες ἐκ τῶν μέχρι τότε ἐκδεδομένων καὶ πολλαὶ ἔντυποι ἐκδόσεις. Μὲ τὴν εἰς βάθος αὐτήν, ἔστω καὶ δειγματοληπτικὴν τομήν, διήκουσαν εἰς ὅλην σχεδὸν τὴν περίοδον τῆς χειρογράφου παραδόσεως ἀπό τοῦ ΙΑ΄ μέχρι τοῦ ΙΗ΄ αἰῶνος, ἐδόθη

σαφὴς καὶ ὁπωσοῦν ἀκριβὴς εἰκὼν τῆς ἱστορικῆς πορείας τῆς διαμορφώσεως τῶν λειτουργικῶν δέλτων καὶ ἠνοίχθη ὁ δρόμος διὰ τὴν βελτίωσιν τοῦ λειτουργικοῦ μας κειμένου ἐπὶ παραδοσιακῶν βάσεων, ὅπως ἦτο ἡ πρόθεσις τῆς Μεγάλης Ἐκκλησίας καὶ τῆς ὑπ αὐτῆς συσταθείσης ἐπιτροπῆς. Οἱ καρποὶ τῆς ἐργώδους αὐτῆς προσπαθείας δὲν ἐτρυγήθησαν ὅμως ἀκόμη οὔτε καὶ ὡς πρὸς τὸ πρῶτον καὶ ἁπλούστερον σκέλος τῶν ἐπιδιώξεων αὐτῆς. Ἐφάνη πάντως σαφῶς ὅτι τὰ μὲν κείμενα τῶν εὐχῶν ἀπὸ τοῦ Θ´ αἰῶνος καὶ ἑξῆς διετηρήθησαν ἀναλλοίωτα, πλὴν ἐλαχίστων τινῶν σημαντικῶν ὅμως διαφόρων γραφῶν καὶ μεταθέσεων, αἱ δὲ τυπικαὶ διατάξεις εἰσελθοῦσαι εἰς τὰ νεώτερα χειρόγραφα ἐκ τῆς Διατάξεως τῆς θ. λειτουργίας τοῦ Πατριάρχου Φιλοθέου τοῦ Κοκκίνου, καὶ ἐξ αὐτῶν εἰς τὰ νεώτερα ἔντυπα, ὑπέστησαν ποικίλας εὐλαβεῖς μέν, ἀλλ' ἀκρίτους ἐπαυξήσεις καὶ τροποποιήσεις, πολλαὶ τῶν ὁποίων ἐπηρέασαν, περιφερειακῶς βεβαίως, ἀλλὰ σημαντικῶς, αὐτὰ τὰ κείμενα τῶν διακονικῶν παρακελεύσεων καὶ τῶν ἱερατικῶν εὐχῶν. Ἐκ τῆς ἐκδόσεως ἐκείνης ἐφάνησαν καὶ αἱ κατευθύνσεις πρὸς τὰς ὁποίας θὰ ἔπρεπε νὰ κινηθῇ καὶ πᾶσα προσπάθεια πρὸς βελτίωσιν τῶν ἐκδόσεων τῶν «Ἱερατικῶν» πρὸς ἀμεμπτοτέραν ἐκτύπωσιν αὐτῶν καὶ ἀποκατάστασιν τῶν ἐν τῷ μεταξὺ ἐπενεχθεισῶν ἀπὸ ἄγνοιαν ἢ εὐλάβειαν φθορῶν. Αὗται κατέστησαν ἐμφανέσταται εἰς νεωτάτας ἐκδόσεις, αἱ ὁποῖαι παρὰ τὰς γενομένας ἐπικρίσεις καὶ ἐπισημάνσεις τῶν ἐκτροπῶν, αἱ ὁποῖαι κατὰ καιροὺς μετὰ λόγου καὶ τεκμηρίων ἐκ τῆς ἐξηκριβωμένης λειτουργικῆς παραδόσεως ἐπεσημάνθησαν, κινδυνεύουν νὰ ἐπιβάλλουν εἰς τὴν σύγχρονον λειτουργικὴν τάξιν στοιχεῖα ξένα πρὸς τὴν ὀρθὴν τάξιν καὶ παράδοσιν, τὰ ὁποῖα μετὰ παρέλευσιν χρόνου θὰ καταντήσουν νὰ θεωρῶνται ἰσόκυρα πρὸς τὰ ἀληθῶς παραδοσιακὰ ἢ καὶ θὰ ἀποβοῦν, ὡς κατὰ κανόνα συμβαίνει, ἰσχυρότερα αὐτῶν.

★

Ὑπὸ τὰς προϋποθέσεις αὐτὰς καὶ εἰς τὸ πλαίσιον τῶν διαγραφεισῶν ἐν συντομίᾳ προδιαγραφῶν καὶ ἀναζητήσεων ἔρχεται ἡ παροῦσα ἔκδοσις τοῦ «Ἱερατικοῦ» νὰ συμβάλῃ τὸ κατὰ δύναμιν εἰς τὴν βελτίωσιν τῶν ἐν προκειμένῳ λειτουργικῶν μας πραγμάτων. Εἶναι σημαντικὸν ὅτι ἡ προσπάθεια προέρχεται ἐκ κοινοβιακῆς Μονῆς τοῦ Ἁγίου Ὄρους, ἀγωνιώσης διὰ τὴν λειτουργικὴν παραδοσιακὴν εὐταξίαν· ὄχι ἀπὸ ἰδιώτην, ἀλλὰ κατ οὐσίαν ὡς συλλογικὸν ἔργον μοναχικῆς ἀδελφότητος· ὄχι πάλιν ἀπὸ τὴν ἐπίσημον ἐκκλησιαστικὴν ἀρχήν, ἀλλ εὐλογίᾳ καὶ ἐνθαρρύνσει αὐτῆς, ὡς οἱονεὶ προδρομικὸν ἔργον προπαρασκευάζον τὴν ὁδὸν διὰ μίαν εὐκταίαν ἐπίσημον καὶ ἄψογον ἔκδοσιν. Ὅτι δὲ προέρχεται ἐξ Ἁγίου Ὄρους καὶ τοῦτο ἀποτελεῖ ἰδιαίτερον προνόμιον τῆς ἐκδόσεως αὐτῆς. Τοῦτο συνιστᾷ εἰς τὰς ἡμέρας μας ἀληθῆ κιβωτὸν τῆς ὀρθοδόξου λειτουργικῆς παραδόσεως καὶ ἀκοίμητον θεματοφύλακα τῆς ἱερᾶς εὐταξίας καὶ ἀκριβείας, τὸ μὲν διὰ τὴν εὐλάβειαν καὶ τὴν καθημερινὴν λειτουργικὴν ἐμπειρίαν καὶ τὴν συνακολουθοῦσαν λιπαρὰν γνῶσιν τῶν ἐν αὐτῷ πατέρων, τὸ δὲ διὰ τὰς εὐκαιρίας μελέτης καὶ σπουδῆς τὰς παρεχομένας εἰς αὐτοὺς καὶ τῆς ἀνέσεως διὰ τὴν ἀπερίσπαστον διεξαγωγὴν τῆς θείας λατρείας παρ αὐτοῖς ἐν ἀντιθέσει πρὸς τὰς εἰδικὰς καὶ πιεστικὰς συνθήκας τῶν κατὰ τὸν κόσμον ἐκκλησιῶν.

Οὕτω τὸ πρῶτον καὶ κύριον μέλημα τῆς παρούσης ἐκδόσεως ἦτο ἡ ἀποτύπωσις τῆς λειτουργικῆς τάξεως μετὰ πάσης ἀκριβείας καὶ μάλιστα κατὰ τὴν ἀπηκριβωμένην τάξιν τὴν συντηρουμένην ἐν Ἁγίῳ Ὄρει καὶ τὴν μαρτυρουμένην ἀπὸ τὰ παλαιὰ ἀξιόπιστα χειρόγραφα καὶ τὰ στοιχοῦντα πρὸς αὐτὰ ἔντυπα. Οὕτως αἱ εὐχαὶ τίθενται πάντοτε εἰς τὴν ἀρχικὴν καὶ ὀρθὴν θέσιν αὐτῶν, ἤτοι πρὸ τῶν ἀνηκουσῶν εἰς αὐτὰς ἐκφωνήσεων, θέσιν ἀπὸ τῆς ὁποίας ἐνίοτε ἀπεσπάσθησαν εἴτε διὰ τῆς ἀκαίρου παρεμ-

βολῆς διακονικῶν εἴτε ἐκ λόγων σπουδῆς τῶν λειτουργῶν. Αἱ ἀπολύσεις καὶ αἱ μνημονεύσεις κατ' αὐτάς, εἰς τὴν προσκομιδὴν καὶ εἰς τὰς λοιπὰς περιστάσεις σειρῶν ὀνομάτων ἁγίων, διετυπώθησαν, εἰς τὴν λιτὴν αὐτῶν μορφήν, κατὰ τὰ ἐν Ἁγίῳ Ὄρει εἰς τὰς τηρούσας τὰ παλαιὰ θέσμια Μονὰς κρατοῦντα. Ὅπου ὅμως ἡ νεωτέρα τάξις κοινῶς ἐπεκράτησε ἔναντι τῆς παλαιοτέρας, ἐκεῖ ἐχρησιμοποιήθησαν πλάγιοι χαρακτῆρες. Διὰ τὸν αὐτὸν λόγον δὲν περιελήφθησαν καὶ τὸ «Μακαρίσωμεν...» καὶ τὰ ἐφεξῆς εἰς τὸ «Εὐξώμεθα» τοῦ Μεσονυκτικοῦ καὶ τῶν Ἀποδείπνων, ἡ ἐκτενὴς εἰς τὸ τέλος τοῦ Μεσονυκτικοῦ τῆς Κυριακῆς, ἡ ὑπὲρ τῶν βασιλέων ἢ τοῦ ἀρχιερέως αἴτησις εἰς τὴν συναπτὴν τῆς βασιλικῆς ἀκολουθίας πρὸ τοῦ ἑξαψάλμου τοῦ Ὄρθρου, τὸ «Σῶσον, ὁ Θεός, τὸν λαόν σου» κατὰ τοὺς Ὄρθρους τῶν καθημερινῶν τῆς Μεγάλης Τεσσαρακοστῆς, αἱ μνημονεύσεις κατὰ τὴν μεγάλην εἴσοδον τῆς θείας λειτουργίας καὶ αἱ ἀκαίρως ἐξ εὐλαβείας παρενειρόμεναι εἰς τὰ διάφορα σημεῖα τῆς θείας λειτουργίας δεκάδες ὅλαι τροπαρίων. Ἡ ἐν Ἁγίῳ Ὄρει ὁμοίως τηρουμένη ἀρχαιοτέρα καὶ ἀκριβεστέρα τάξις τηρεῖται καὶ ὡς πρὸς τὴν ἀνάγνωσιν τοῦ εὐαγγελίου τοῦ Ὄρθρου, ὡς πρὸς τὴν ἀνάγνωσιν τῶν τεσσάρων πρώτων εὐχῶν τοῦ λυχνικοῦ κατὰ τὴν Προηγιασμένην, ὡς πρὸς τὴν κατακλείουσαν τὸν Ὄρθρον καὶ τὸν Ἑσπερινὸν τῶν καθημερινῶν ἐκτενῆ, ὡς πρὸς τὸ «Ἀγάθυνον» μετὰ τὴν ἀπόθεσιν τῶν τιμίων δώρων ἐπὶ τῆς ἁγίας τραπέζης, ὡς πρὸς τὰ λεγόμενα κατὰ τὴν μετάληψιν τῶν πιστῶν, ὡς πρὸς τὴν εὐχὴν τῆς εἰσόδου τῆς ἑσπερινῆς λειτουργίας τοῦ Μεγάλου Βασιλείου καὶ τὴν ὀπισθάμβωνον εὐχὴν αὐτῆς καὶ ὡς πρὸς τὴν ἀνάγνωσιν τοῦ λγ´ ψαλμοῦ κατὰ τὴν διανομὴν τοῦ ἀντιδώρου μετὰ τὴν ἀπόλυσιν καὶ πρὸ τοῦ «Δι' εὐχῶν...».

Πλάγια γράμματα ἐχρησιμοποιήθησαν πρὸς δήλωσιν ὅσων διακονικῶν παραλείπονται ἂν λειτουργῇ μόνος ὁ

ἱερεύς, αἱ ὑπὲρ τῶν βασιλέων αἰτήσεις εἰς τὰ διακονικά, αἱ ὑπὲρ τῶν βασιλέων δεήσεις εἰς τὸν μέγαν ἁγιασμόν, αἱ ὁποῖαι κατὰ τὴν δήλωσιν τῶν χειρογράφων ἐλέγοντο μόνον εἰς τὸ ἱερὸν παλάτιον, καὶ τὰ ἐξ ἔθους παραλειπόμενα δεύτερα πληρωτικὰ τῆς θείας λειτουργίας. Αἱ ἰδιωτικαὶ εὐχαὶ εὐλαβείας πρὸ καὶ μετὰ τὴν θείαν μετάληψιν δὲν παρενεβλήθησαν εἰς τὸ κείμενον τῆς θείας λειτουργίας, ἀλλ ἐτέθησαν κεχωρισμένως ἐν παραρτήματι κατὰ τὴν ὀρθὴν ἀρχαίαν τάξιν. Ὁμοίως ἐν παραρτήματι τίθεται καὶ ὁ κατάλογος τοῦ ἑορτολογίου, μετὰ τὰς ἀπαραιτήτους διασαφήσεις περὶ τοῦ χαρακτῆρος τῶν ἑορτῶν καὶ τοῦ τρόπου μνημονεύσεως αὐτῶν. Ὁ κατάλογος τῶν ἁγίων ἀπηλλάγη ἀπὸ τὸ πλῆθος τῶν ὀνομάτων, ὁ ὁποῖος εἰς τὰς νεωτέρας ἐκδόσεις μετατρέπει αὐτὸν εἰς ἓν εἶδος συναξαρίου. Κατὰ τὴν ὀρθὴν τάξιν μνημονεύονται μόνον οἱ ἑορταζόμενοι καθ' ἡμέραν ἅγιοι καὶ κατ' ἐπέκτασιν οἱ ἔχοντες ἀκολουθίαν εἰς τὸ Μηναῖον καὶ αὐτοί, ὡς ἔδει, μόνοι περιελήφθησαν εἰς τὸ ἑορτολόγιον τοῦτο. Ἐξαίρεσις ἐγένετο δι' ὡρισμένους κυρίως νεωτέρους ἁγίους, ἰδιαιτέρως παρ' ἡμῖν σήμερον τιμωμένους, μὴ ἑορταζομένους δὲ κατὰ τὴν εἰς τὰ Μηναῖα τάξιν, τῶν ὁποίων τὰ ὀνόματα ἐξετυπώθησαν διὰ πλαγίων γραμμάτων.

Ὡς πρὸς τὰς τυπικὰς διατάξεις ἠκολουθήθη κατὰ τὸ δυνατὸν μέση τις ὁδὸς μεταξὺ τῶν παλαιῶν χειρογράφων καὶ ἐντύπων καὶ τῶν νεωτέρων, ὅπου καὶ ὅσον τοῦτο ἦτο δυνατόν. Κατεβλήθη δηλαδὴ προσπάθεια νὰ εἶναι αὗται πλήρεις μὲν καὶ ἀκριβεῖς, ἀλλὰ καὶ σύντομοι καὶ σαφεῖς, ἀποφευγομένης οὕτω καὶ τῆς ἀκρίτου πολυλογίας καὶ τῆς ὑπερβολικῆς λακωνικότητος.

★

Ἰδιαιτέρα φροντὶς κατεβλήθη ὅπως ἡ ἔκδοσις αὕτη ἀνταποκριθῇ εἰς τὰς πρακτικὰς ἀνάγκας, διὰ τὴν κάλυψιν τῶν ὁποίων καὶ προορίζεται, συγχρόνως δὲ νὰ ἐπωφεληθῇ

τῶν πολλαπλῶν δυνατοτήτων τῆς συγχρόνου τυπογραφικῆς τεχνολογίας καὶ τῶν αἰσθητικῶν ἀκόμη ἀπαιτήσεων αὐτῆς. Οὕτως ἐχρησιμοποιήθησαν τὰ προσφορώτερα τυπογραφικὰ στοιχεῖα, διαφόρων στιγμῶν καὶ οἰκογενειῶν, καὶ ἡ παραδοσιακὴ διχρωμία, ἡ κατανομὴ τῶν εὐχῶν εἰς παραγράφους διὰ τὴν ἀνετωτέραν ἀνάγνωσιν αὐτῶν καὶ ὁ καταλληλότερος χάρτης. Ἅπαξ δὲ καὶ προετιμήθη ὡς πρακτικῶς προτιμώτερος ὁ μεταγενέστερος μέν, ἀλλ' ἐξυπηρετικώτερος, τύπος τοῦ ἐπηυξημένου «Ἱερατικοῦ» καὶ τὸ μικρότερον τοῦ συνήθους σχῆμα, διὰ τὴν ἀποφυγὴν ὑπερβολικοῦ ὄγκου καθιστῶντος δύσχρηστον καὶ ἀκαλαίσθητον τὸ βιβλίον, προετιμήθη ἡ κατανομὴ τῆς ὕλης αὐτοῦ εἰς τρία τεύχη-τόμους κατὰ τὰς τρεῖς βυζαντινὰς λειτουργίας. Οὕτω κατὰ τὴν κατὰ τὸ τυπικὸν προδιαγραφομένην τάξιν τελέσεως ὁτὲ μὲν τῆς λειτουργίας τοῦ ἱεροῦ Χρυσοστόμου, ὁτὲ δὲ τοῦ Μεγάλου Βασιλείου, ὁτὲ δὲ τῶν Προηγιασμένων, χρησιμοποιεῖται τὸ δι' ἑκάστην προοριζόμενον τεῦχος. Κατ' ἀκολουθίαν ἡ ἐπὶ μέρους συμπληρωματικὴ ὕλη (εἰσοδικά, κοντάκια, ἀπολύσεις κ.λπ.) κατενεμήθη κατὰ τὴν συγγένειαν αὐτῆς πρὸς τὴν τελουμένην λειτουργίαν, κατ' ἀνάγκην δὲ ὡρισμέναι κοιναὶ διατάξεις ἢ ἀκολουθίαι (Ὄρθρος, Ἑσπερινός, ἀκολουθία μεταλήψεως, ἑορτολόγιον καὶ τὰ ὅμοια) ἐπανελήφθησαν καὶ εἰς τοὺς τρεῖς τόμους. Τοῦτο ἐπεβάρυνε μέν πως τὴν ἔκδοσιν, ἐξησφάλισεν ὅμως τὴν πληρότητα καὶ τὴν κατὰ τὸ δυνατὸν ἰσότητα τῶν τευχῶν καὶ τὸ εὔσχημον αὐτῶν.

Οὕτω παραδίδεται εἰς χεῖρας τοῦ τιμίου πρεσβυτερίου τὸ παρὸν «Ἱερατικὸν» εἰς δόξαν Θεοῦ καὶ σωτηρίαν καὶ ἁγιασμὸν τῆς κληρονομίας Αὐτοῦ.

Ἰωάννης Μ. Φουντούλης
Καθηγητὴς τῆς Λειτουργικῆς
Πανεπιστημίου Θεσσαλονίκης

«Μέσος τοῦ Θεοῦ καὶ τῆς τῶν ἀνθρώπων φύσεως ἕστηκεν ὁ ἱερεύς, τὰς ἐκεῖθεν τιμὰς κατάγων πρὸς ἡμᾶς, καὶ τὰς παρ' ἡμῶν ἱκετηρίους ἀνάγων ἐκεῖ».

(Ἅγιος Ἰωάννης Χρυσόστομος, PG 56, 131)

«Αὕτη ἡ τῆς ἱερωσύνης δύναμις, οὗτος ὁ ἱερεύς. Οὐ γὰρ ἅπαξ ἑαυτὸν προσαγαγὼν καὶ θύσας ἐπαύσατο τῆς ἱερωσύνης (ὁ Κύριος), ἀλλὰ διηνεκῆ ταύτην λειτουργεῖ τὴν λειτουργίαν ἡμῖν, καθ' ἣν καὶ παράκλητός ἐστιν ὑπὲρ ἡμῶν πρὸς τὸν Θεὸν δι' αἰῶνος, οὗ χάριν εἴρηται πρὸς αὐτόν· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα».

(Ἅγιος Νικόλαος Καβάσιλας PG 150, 428 B-C)

«Πρεσβύτερος δέ, τῶν ὑπερτέρων τάξεων τύπον ἔχων, καὶ δεύτερον φῶς, καὶ μεταδοτικὸς καὶ ἐνεργὸς μυστηρίων, καὶ διὰ τοῦτο τελεστικός».

(Ἅγιος Συμεὼν Θεσ/νίκης, PG 155, 374 β)

«Τούτων δὲ πάντων (τῶν παθῶν) ἀπηλλαγμένος ὀφείλει εἶναι ὁ ἀληθῶς ἱερεύς, τὸ τοῦ μεγάλου Βασιλείου, εἰ δυνατόν, ἐνεργείσθω, τὸ τῆς ἑβδομάδος τετράκις ἱερουργεῖν, ὡς εἴρηται. Εἰ δ οὔ, κἂν δὶς τῆς ἑβδομάδος ἀπαραιτήτως. Τοῦτο γὰρ καὶ τοῖς ἐν κόσμῳ καὶ μοναχοῖς δυνατόν ἐστι καὶ οὐ χώρα τούτοις ἀπολογία, τῇ τῶν πέντε ἡμερῶν μελέτῃ καὶ προσοχῇ καὶ ἐξομολογήσει προκαθαίρεσθαι δυναμένοις».

(Ἅγιος Συμεὼν Θεσ/νίκης, PG 155, 377 B)

«Καὶ ἂν τύχῃ ἕνας ἱερεὺς καὶ ἕνας βασιλεύς, τὸν ἱερέα νὰ προτιμήσῃς· καὶ ἂν τύχῃ ἕνας ἱερεὺς καὶ ἕνας ἄγγελος, τὸν ἱερέα νὰ προτιμήσῃς, διότι ὁ ἱερεὺς εἶναι ἀνώτερος ἀπὸ τοὺς ἀγγέλους...

Διότι ὅλος ὁ κόσμος νὰ παρακαλέσῃ τὸν Θεὸν δὲν δύνανται νὰ τελειώσουν τὰ ἄχραντα μυστήρια, καὶ ἕνας ἱερεύς, ἔστω καὶ ἁμαρτωλός, δύναται μὲ τὴν χάριν τοῦ Ἁγίου Πνεύματος νὰ τὰ τελειώσῃ».

(Ἅγιος Κοσμᾶς ὁ Αἰτωλός, Διδαχὴ Γ')



ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ
ΚΑΙ ΠΡΩΤΟΝ
ΤΟΥ ΣΑΒΒΑΤΟΥ ΚΑΙ ΤΩΝ ΕΟΡΤΩΝ

Ἐπιστάντος τοῦ καιροῦ τοῦ Ἑσπερινοῦ, ἀπέρχεται ὁ Ἱερεὺς σὺν τῷ Διακόνῳ καὶ ποιοῦσι μετάνοιαν τῷ Προεστῶτι, τουτέστιν τῷ Ἡγουμένῳ, ἤ, ἀπόντος, εἰς τὸν θρόνον αὐτοῦ, καὶ εἰσέρχονται διὰ τῆς πλαγίας εἰς τὸ ἅγιον βῆμα. Καὶ προσκυνήσαντες τρὶς πρὸ τῆς ἁγίας Τραπέζης ἀσπάζεται ὁ Ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον καὶ τὴν ἁγίαν Τράπεζαν· καὶ λαβὼν τὸ ἐπιτραχήλιον εὐλογεῖ καὶ περιβάλλεται αὐτό.

Εἶτα ἱστάμενος ἀσκεπὴς πρὸ τῆς ἁγίας Τραπέζης, ἀνοιγέντος τοῦ καταπετάσματος, ἐκφωνεῖ:

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὸ Ἀμὴν ὁ Προεστὼς ἀναγινώσκει τὸν προοιμιακόν. Ὁ δὲ Ἱερεὺς εὐλογῶν τὰ τοῦ Διακόνου ἄμφια λέγει τὸ αὐτὸ Εὐλογητὸς ὁ Θεὸς ἡμῶν... ὡς ἄνω· καὶ ἀναγινώσκει τὰς εὐχὰς τοῦ λυχνικοῦ·

Εὐχὴ α΄

Κύριε, οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε, ἐνώτισαι τὴν προσευχὴν ἡμῶν καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεως ἡμῶν· ποίησον μεθ' ἡμῶν σημεῖον εἰς ἀγαθόν· ὁδήγησον ἡμᾶς ἐν τῇ ὁδῷ σου, τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου· εὔφρανον τὰς καρδίας ἡμῶν εἰς τὸ φοβεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον· διότι μέγας εἶ σὺ καὶ ποιῶν θαυμάσια· σὺ εἶ Θεὸς μόνος καὶ οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, δυνατὸς ἐν ἐλέει καὶ ἀγαθὸς ἐν ἰσχύϊ, εἰς τὸ βοηθεῖν καὶ παρακαλεῖν καὶ σῴζειν πάντας τοὺς ἐλπίζοντας εἰς τὸ ὄνομά σου τὸ ἅγιον.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ β΄

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, ἰατρὲ καὶ θεραπευτὰ τῶν ψυχῶν ἡμῶν· ὁδήγησον ἡμᾶς ἐπὶ λιμένα θελήματός σου· φώτισον τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν ἡμῶν εἰς ἐπίγνωσιν τῆς σῆς ἀληθείας· καὶ δώρησαι ἡμῖν τὸ λοιπὸν τῆς πα-

ρούσης ἡμέρας εἰρηνικὸν καὶ ἀναμάρτητον καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων.

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ γ΄

Κύριε ὁ Θεὸς ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου, ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον ὄνομά σου, καὶ μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας τοῦ ἐλέους σου, ἀλλὰ χάρισαι ἡμῖν, Κύριε, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα· καὶ ἀξίωσον ἡμᾶς ἀγαπᾶν καὶ φοβεῖσθαί σε ἐξ ὅλης τῆς καρδίας ἡμῶν καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ δ΄

Ὁ τοῖς ἀσιγήτοις ὕμνοις καὶ ἀπαύστοις δοξολογίαις ὑπὸ τῶν ἁγίων δυνάμεων ἀνυμνούμενος, πλήρωσον τὸ στόμα ἡμῶν τῆς αἰνέσεώς

σου, τοῦ δοῦναι μεγαλωσύνην τῷ ὀνόματί σου τῷ ἁγίῳ· καὶ δὸς ἡμῖν μερίδα καὶ κλῆρον μετὰ πάντων τῶν φοβουμένων σε ἐν ἀληθείᾳ καὶ φυλασσόντων τὰς ἐντολάς σου· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ε΄

Κύριε, Κύριε, ὁ τῇ ἀχράντῳ σου παλάμῃ συνέχων τὰ σύμπαντα, ὁ μακροθυμῶν ἐπὶ πάντας ἡμᾶς καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις ἡμῶν, μνήσθητι τῶν οἰκτιρμῶν σου καὶ τοῦ ἐλέους σου· ἐπίσκεψαι ἡμᾶς ἐν τῇ σῇ ἀγαθότητι καὶ δὸς ἡμῖν διαφυγεῖν καὶ τὸ λοιπὸν τῆς παρούσης ἡμέρας ἐκ τῶν τοῦ πονηροῦ ποικίλων μηχανημάτων καὶ ἀνεπιβούλευτον τὴν ζωὴν ἡμῶν διαφύλαξον, τῇ χάριτι τοῦ παναγίου σου Πνεύματος.

Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ’ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ϛ´

Ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστός, ὁ ἀνεκδιηγήτῳ ἀγαθωσύνῃ καὶ πλουσίᾳ προνοίᾳ διοικῶν τὰ σύμπαντα· ὁ καὶ τὰ ἐγκόσμια ἀγαθὰ ἡμῖν δωρησάμενος καὶ κατεγγυήσας ἡμῖν τὴν ἐπηγγελμένην βασιλείαν διὰ τῶν ἤδη κεχαρισμένων ἡμῖν ἀγαθῶν· ὁ ποιήσας ἡμᾶς καὶ τῆς νῦν ἡμέρας τὸ παρελθὸν μέρος ἀπὸ παντὸς ἐκκλῖναι κακοῦ, δώρησαι ἡμῖν καὶ τὸ ὑπόλοιπον ἀμέμπτως ἐκτελέσαι ἐνώπιον τῆς ἁγίας δόξης σου, ὑμνοῦντάς σε τὸν μόνον ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ζ´

Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας· ὁ διαχωρίσας ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους καὶ τὸν μὲν ἥλιον θέμενος εἰς ἐξουσίαν τῆς ἡμέρας, σελήνην δὲ καὶ ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός· ὁ καταξιώσας ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἐπὶ τῆς παρούσης ὥρας προφθάσαι τὸ πρόσωπόν σου ἐν ἐξομολογήσει καὶ τὴν ἑσπερινήν σοι δοξο-

λογίαν προσαγαγεῖν· αὐτός, φιλάνθρωπε Κύριε, κατεύθυνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου καὶ πρόσδεξαι αὐτὴν εἰς ὀσμὴν εὐωδίας. Παράσχου δὲ ἡμῖν τὴν παροῦσαν ἑσπέραν καὶ τὴν ἐπιοῦσαν νύκτα εἰρηνικήν· ἔνδυσον ἡμᾶς ὅπλα φωτός· ῥῦσαι ἡμᾶς ἀπὸ φόβου νυκτερινοῦ καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου· καὶ δὸς ἡμῖν τὸν ὕπνον, ὃν εἰς ἀνάπαυσιν τῇ ἀσθενείᾳ ἡμῶν ἐδωρήσω, πάσης διαβολικῆς φαντασίας ἀπηλλαγμένον. Ναί, Δέσποτα τῶν ἁπάντων, τῶν ἀγαθῶν χορηγέ· ἵνα, καὶ ἐπὶ ταῖς κοίταις ἡμῶν κατανυγόμενοι, μνημονεύωμεν ἐν νυκτὶ τοῦ ὀνόματός σου, καὶ τῇ μελέτῃ τῶν σῶν ἐντολῶν καταυγαζόμενοι, ἐν ἀγαλλιάσει ψυχῆς διαναστῶμεν πρὸς δοξολογίαν τῆς σῆς ἀγαθότητος, δεήσεις καὶ ἱκεσίας τῇ σῇ εὐσπλαγχνίᾳ προσάγοντες ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων καὶ παντὸς τοῦ λαοῦ σου, ὃν ταῖς πρεσβείαις τῆς ἁγίας Θεοτόκου ἐν ἐλέει ἐπίσκεψαι.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πληρωθέντος δὲ τοῦ προοιμιακοῦ ψαλμοῦ λέγει ὁ Διάκονος ἤ, μὴ ὄντος αὐτοῦ, ὁ Ἱερεύς, πρὸ τῆς ἁγίας Τραπέζης, τὴν μεγάλην συναπτήν, ἤτοι τὰ εἰρηνικά·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Μονῆς (ἢ τῆς πόλεως) ταύτης, πάσης μονῆς, πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα τὸ Μακάριος ἀνήρ, οὗ πληρωθέντος λέγει ὁ Διάκονος ἢ ὁ Ἱερεὺς τὴν μικρὰν συναπτήν·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ψαλλομένου δὲ τοῦ Κύριε ἐκέκραξα, εἰ οὐκ ἔστι Διάκονος, ἐνδύεται ὁ Ἱερεὺς τὸ φελώνιον καὶ εὐλογῶν τὸ θυμίαμα λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὴν εὐλογίαν, εἰς τὰς λέξεις ὡς θυμίαμα τοῦ Κατευθυνθήτω, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν κύκλῳ, τὸ ἱερατεῖον ὅλον (πρόθεσιν, ἱερὸν βῆμα)· καὶ ἐξερχόμενος διὰ τῆς βορείου πύλης, θυμιᾷ τὰς ἁγίας εἰκόνας ἀνὰ τρίς, τὸν λαὸν καὶ τὸν ναὸν ἅπαντα κατὰ τὸ ἔθος τῶν ἁγίων Ἐκκλησιῶν, ὑποστρέφων καὶ πάλιν διὰ τῆς νοτίου πύλης ἐν τῷ Βήματι.

Ὅταν δὲ ψάλλωσι τὸ Δόξα, καὶ νῦν, ποιοῦσιν ὁμοῦ ὅ τε

Διάκονος καὶ ὁ Ἱερεὺς εἴσοδον, πρότερον ἐνδυθεὶς τὸ φελώνιον. Λέγει δὲ ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα.

Ὁ Ἱερεὺς εὐλογῶν αὐτὸ ὡς συνήθως λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε...

Καὶ ἐξέρχονται ἅμα διὰ τοῦ βορείου κλίτους, προπορευομένου τοῦ Διακόνου· καί, ἱσταμένων καταντικρὺ τῶν ἁγίων θυρῶν, λέγει ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ δὲ Ἱερεὺς κλίνας τὴν κεφαλὴν λέγει ἠρέμα τὴν εὐχὴν τῆς εἰσόδου·

Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν καὶ δεόμεθά σου, Δέσποτα τῶν ἁπάντων, φιλάνθρωπε Κύριε. Κατεύθυνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους ἢ εἰς λογισμοὺς πονηρίας, ἀλλὰ ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν· ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοὶ ἡμῶν καὶ ἐπὶ σοὶ ἠλπίσαμεν· μὴ καταισχύνῃς ἡμᾶς, ὁ Θεὸς ἡμῶν.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον.

Καὶ ὁ Ἱερεὺς εὐλογεῖ κατὰ ἀνατολάς, λέγων·

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος· Ἀμήν.

Εἶτα, μὴ ὄντος Διακόνου, ὁ Ἱερεὺς θυμιᾷ τρὶς τὴν ἁγίαν εἰκόνα τὴν εἰς τὸν τόπον τοῦ Προεστῶτος καὶ αὐτὸν τὸν Προεστῶτα τρίς, τὰς εἰκόνας ἀνὰ τρίς, καὶ τὸν λαόν· καὶ ἵσταται ἐκεῖσε ἐν τῷ μέσῳ τοῦ ναοῦ ἀναμένων τὴν τοῦ τροπαρίου ἐκπλήρωσιν. Πληρωθέντος δὲ αὐτοῦ, χαράξας σταυρὸν μετὰ τοῦ θυμιατηρίου ἕως κεφαλῆς, ἐκφωνεῖ ὁ Ἱερεὺς ἢ ὁ Διάκονος·

Σοφία· ὀρθοί.

Καὶ εἰσέρχονται διὰ τῆς ὡραίας πύλης ἐν τῷ ἁγίῳ βήματι, τοῦ ἔχοντος τὸν θυμιατὸν θυμιῶντος τὴν ἁγίαν Τράπεζαν. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ Φῶς ἱλαρόν, πρὸς τὸν λαὸν θεωρῶν λέγει ὁ Ἱερεὺς ἢ ὁ Διάκονος·

Ἑσπέρας προκείμενον.

Καὶ ψάλλεται τὸ προκείμενον.

Εἶτα, ἐὰν ὑπάρχωσι προφητικὰ ἀναγνώσματα, ὁ Ἱερεύς, ἱστάμενος πρὸ τῆς ἁγίας Τραπέζης καὶ βλέπων πρὸς τὸν λαόν, ἢ ὁ Διάκονος, ἐκφωνεῖ·

Σοφία· πρόσχωμεν.

Ἐὰν δὲ ἀποστολικά·

Πρόσχωμεν, Σοφία, Πρόσχωμεν.

Εἰ δὲ οὐκ ἔστιν, εὐθὺς μετὰ τὸ προκείμενον ὁ Ἱερεύς, πρὸ τῆς ἁγίας Τραπέζης, λέγει τὴν μεγάλην ἐκτενῆ ἢ

ὁ Διάκονος·

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας Ἐκκλησίας ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ, ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν ταῖς διακονίαις ὄντων καὶ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ Μονῇ ταύτῃ.

Ἐκφώνως ὁ Ἱερεύς·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Μετὰ δὲ τὸ Καταξίωσον λέγει τὰς αἰτήσεις, ἤτοι τὰ πληρωτικά,

ὁ Διάκονος·

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημο-

νεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ δὲ Ἱερεὺς ἐκφώνως·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Ἱερεὺς εὐλογῶν τὸν λαὸν λέγει·

Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ Ἱερεὺς λέγει τὴν εὐχὴν τῆς κεφαλοκλισίας·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου· σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας, οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος καὶ τὴν σὴν ἀπεκδεχόμενοι

σωτηρίαν· οὓς διαφύλαξον ἐν παντὶ καιρῷ καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας διαβολικῆς καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

Ἐκφώνως·

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Εἶτα ψάλλονται τὰ ἀπόστιχα. Καὶ μετὰ τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Πάτερ ἡμῶν ἐκφωνεῖ ὁ Ἱερεύς·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Μετὰ δὲ τὸ ἀπολυτίκιον λέγει ὁ Διάκονος·

Σοφία.

Ὁ χορός· Εὐλόγησον.

Καὶ ὁ Ἱερεὺς ἔνδοθεν·

Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καί, μετὰ τὸ Στερεώσαι Κύριος ὁ Θεός... καὶ Τὴν τιμιωτέραν τῶν Χερουβίμ, ὁ Ἱερεὺς ἐπὶ τῆς ὡραίας πύλης ἱστάμενος καὶ βλέπων πρὸς τὸν λαὸν λέγει·

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ χορός· Δόξα, καὶ νῦν, Κύριε, ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ δὲ Ἱερεύς, χαλάσας τὸ φελώνιον, ποιεῖ τὴν μεγάλην ἀπόλυσιν· καὶ ἐν μὲν τῷ Σαββάτῳ ἄρχεται λέγων Ὁ ἀναστὰς ἐκ νεκρῶν ἢ ἐν Δεσποτικῇ ἑορτῇ τὸ χαρακτηριστικὸν αὐτῆς, ἐν ἄλλῃ δὲ ἡμέρᾳ·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ στρεφόμενος πρὸς ἀνατολὰς λέγει τό·

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Ὁ χορός· Ἀμήν.

ΔΕΥΤΕΡΟΝ

ΤΟΥ

ΜΕΓΑΛΟΥ ΕΣΠΕΡΙΝΟΥ ΤΩΝ ΑΓΡΥΠΝΙΩΝ

Εἰς τὴν ἔναρξιν

Ἐπιστάντος τοῦ καιροῦ τοῦ Μ. Ἑσπερινοῦ, ἐν τῇ ἀγρυπνίᾳ, μετὰ τὴν ἀπόλυσιν τοῦ Ἀποδείπνου ἀπέρχεται ὁ Ἱερεὺς καὶ ποιεῖ μετάνοιαν τῷ Προεστῶτι ἢ τῷ Ἀρχιερεῖ, ὄντι ἐν τῷ θρόνῳ καὶ χοροστατοῦντι, καὶ εἰσέρχεται διὰ τῆς νοτίου πύλης εἰς τὸ ἅγιον βῆμα, ἔνθα ἐνδύεται ἐπιτραχήλιον καὶ φελώνιον (οἱ ἐν τοῖς μοναστηρίοις μανδύαν καὶ ἐπιτραχήλιον).

Εἶτα λαβὼν τὸ θυμιατήριον, εὐλογήσας συνήθως, ἄρχεται θυμιᾶν τὸ θυσιαστήριον καὶ τὸν ναὸν ἅπαντα, ὡς ἔθος ἐστίν, ἐκ τῶν ἁγίων θυρῶν ἐξερχόμενος, τοῦ Εὐταξίου τὴν λαμπάδα κατέχοντος καὶ ἐκφωνήσαντος ἔμπροσθεν αὐτῶν τό Κελεύσατε. Θυμιάσας δὲ ὁ Ἱερεὺς εἰς τὴν λιτὴν καὶ εἰς τὸν νάρθηκα εἰσέρχεται διὰ τῶν βασιλικῶν πυλῶν εἰς τὸν κυρίως ναὸν καὶ ἱστάμενος ἐν τῷ μέσῳ τοῦ ναοῦ ἢ τοῦ σολέα ὑψοῖ ἁπλῶς καὶ μόνον τὸν θυμιατὸν καὶ ἐκφωνεῖ μετὰ μέλους τὸ Κύριε, εὐλόγησον.

Καὶ θυμιάσας πάλιν τὰς ἁγίας εἰκόνας εἰσέρχεται διὰ τῶν ἁγίων θυρῶν ἐν τῷ ἱερατείῳ καὶ θυμιῶν τὴν ἁγίαν Τράπεζαν ἐκφωνεῖ·

Δόξα τῇ ἁγίᾳ καὶ ὁμουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὸ Ἀμὴν ἀναγινώσκεται ὁ προοιμιακός. Ὁ δὲ Ἱερεὺς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης ἱστάμενος ἀναγινώσκει τὰς εὐχὰς τοῦ λυχνικοῦ. Εἶτα, μὴ ὄντος Διακόνου, λέγει τὴν μεγάλην καὶ τὴν μικρὰν συναπτήν, θυμιᾷ εἰς τὸ Κατευθυνθήτω, ποιεῖ τὴν εἴσοδον καὶ τὰ λοιπὰ πάντα, ὡς ἐν τῷ συνήθει Ἑσπερινῷ τῶν ἑορτῶν γέγραπται μέχρι τῆς ἐκφωνήσεως τῆς εὐχῆς τῆς κεφαλοκλισίας.

Εἰς τὴν εἴσοδον

Ὅτε μέλλουσιν εἰσοδεῦσαι πολλοὶ Ἱερεῖς βάλλουσι μετάνοιαν τῷ Προεστῶτι ἢ Ἀρχιερεῖ καὶ εἰσέρχονται ἐν τῷ ἱερατείῳ ἔνθα καὶ ἐνδύονται τὰς οἰκείας στολάς. Πρὸ τῆς εἰσόδου ὁ α΄ Ἱερεὺς εὐλογεῖ ὡς συνήθως τὸ θυμίαμα. Ἐξερχόμενοι, πρῶτον οἱ Διάκονοι καὶ εἶτα κατὰ τάξιν οἱ Ἱερεῖς, ποιοῦσι σχῆμα, ἤτοι ἐλαφρὰν ὑπόκλισιν τῆς κεφαλῆς αὐτῶν, τῷ χοροστατοῦντι καὶ ἵστανται ἔνθεν καὶ ἔνθεν αὐτοῦ. Ὁ δὲ Προεστὼς ἢ Ἀρχιερεὺς λέγει τὴν εὐχὴν τῆς εἰσόδου.

Μετὰ τὸ Σοφία· ὀρθοὶ ψάλλουσι τὸ Φῶς ἱλαρὸν καὶ τὸ προκείμενον τῆς ἡμέρας ἅπαξ. Εἶτα, ποιοῦντες σχῆμα ἔμπροσθεν τοῦ χοροστατοῦντος, ἄρχονται εἰσέρχεσθαι εἷς καθεὶς ἐν τῷ ἁγίῳ βήματι καὶ ἵστανται καὶ αὖθις ἔνθεν καὶ ἔνθεν τῆς ἁγίας Τραπέζης, τῶν χορῶν ᾀδόντων ἐναλλὰξ δὶς εἰσέτι τὸ προκείμενον, καὶ τελευταῖοι ψάλλουσι καὶ αὖθις τὸ αὐτὸ οἱ Ἱερεῖς καὶ ἐκδύεται ἕκαστος τὴν στολὴν αὐτοῦ.

Εἰ δ᾽ οὐ χοροστατεῖ τις ἐν τῷ θρόνῳ οἱ Ἱερεῖς ἐξελθόντες ἵστανται ἐν τῷ μέσῳ τοῦ ναοῦ ἢ τοῦ σολέα ἔνθεν καὶ ἔνθεν τοῦ α΄ Ἱερέως κατὰ τὴν τάξιν αὐτῶν. Εἰσερχόμενοι δὲ ποιοῦσιν ἁπλῶς σχῆμα εἰς ἑκατέρους τοὺς χορούς.

Μὴ ὄντος Διακόνου ἐξέρχεται πρῶτος, φέρων τὸ θυμιατήριον, ὁ τελευταῖος τῇ τάξει Ἱερεὺς καὶ ἀκολουθεῖ ὁ πρῶτος καὶ οἱ λοιποὶ κατὰ τάξιν. Οὗτος θυμιᾷ, ἐκφωνεῖ τὸ Σοφία· ὀρθοὶ καὶ τὸ Ἑσπέρας προκείμενον καὶ ποιεῖ ἅπαντα τὰ τοῦ Διακόνου ὡς ταῦτα γέγραπται ἐν τῷ Ἱεροδιακονικῷ· οὐχ ἵσταται ὅμως ἔμπροσθεν τῆς εἰκόνος τοῦ Χριστοῦ καὶ οὐ θυμιᾷ τοὺς εἰσερχομένους Ἱερεῖς, ἀλλὰ μετὰ τὴν ψαλμῳδίαν τοῦ προκειμένου εἰσέρχεται πρῶτος ἐν τῷ ἁγίῳ βήματι θυμιῶν τὴν ἁγίαν Τράπεζαν καὶ ἀποτίθησι τὸ θυμιατήριον.

Εἰς τὴν Λιτὴν

Μετὰ τὴν ἐκφώνησιν Εἴη τὸ κράτος τῆς βασιλείας σου, εὐλογήσας συνήθως τὸ θυμίαμα, ὁ Ἱερεὺς ἐξέρχεται διὰ τῆς ὡραίας πύλης, ἑπόμενος τοῦ Διακόνου, λαμβάνει ἀνὰ χεῖρας αὐτοῦ τὴν εἰκόνα τοῦ ἑορταζομένου ἁγίου καὶ ἀπέρχεται εἰς τὴν λιτὴν ἔνθα καὶ ἀφίησι τὴν εἰκόνα ἐν τῷ τετραποδίῳ.

Εἰ δὲ οὐκ ἔστι Διάκονος αὐτὸς ὁ Ἱερεὺς πρῶτον θυμιᾷ καὶ εἶτα λαμβάνει τὴν εἰκόνα καὶ θυμιᾷ πάντας συνήθως. Μετὰ δὲ τὸ πέρας τῶν ἰδιομέλων τῆς Λιτῆς, στὰς ἐν τῷ συνήθει τόπῳ ἔμπροσθεν τῆς εἰκόνος, λέγει τὰς αἰτήσεις τῆς Λιτῆς ὁ Ἱερεὺς ἢ

ὁ Διάκονος·

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς, ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ’ ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ

Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· *τῶν ἐν ἁγίοις πατέρων ἡμῶν μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος τῶν θαυματουργῶν·* τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· *τῶν ἁγίων ἐνδόξων μεγάλων μαρτύρων Γεωργίου τοῦ τροπαιοφόρου καὶ Δημητρίου τοῦ μυροβλύτου, Θεοδώρου τοῦ τήρωνος καὶ τοῦ στρατηλάτου·* τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων· ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Καὶ ψάλλει ὁ α΄ χορὸς τὸ Κύριε, ἐλέησον (γ΄, μ΄ καὶ αὖθις γ΄).

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, κράτους, νίκης, διαμονῆς, ὑγείας, σωτηρίας αὐτῶν καὶ τοῦ Κύριον τὸν Θεὸν

ἡμῶν ἐπὶ πλέον συνεργῆσαι καὶ κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον.

Ὁ β´ χορός· Κύριε, ἐλέησον (γ´).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ὁ α´ χορός· Κύριε, ἐλέησον (γ´).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὁ β´ χορός· Κύριε, ἐλέησον (γ´).

Ἔτι δεόμεθα ὑπὲρ πάσης ψυχῆς χριστιανῶν θλιβομένης τε καὶ καταπονουμένης, ἐλέους Θεοῦ καὶ βοηθείας ἐπιδεομένης, σκέπης τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν κατοικούντων ἐν αὐτῷ· εἰρήνης καὶ καταστάσεως τοῦ σύμπαντος κόσμου· εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν· σωτηρίας καὶ βοηθείας τῶν μετὰ σπουδῆς καὶ φόβου Θεοῦ κοπιώντων καὶ διακονούντων πατέρων καὶ ἀδελφῶν ἡμῶν· ὑπὲρ τῶν ἀπολειφθέντων καὶ τῶν ἐν ἀποδημίαις ὄντων· ἰάσεως τῶν ἐν ἀσθενείαις κατακειμένων· ὑπὲρ ἀνέσεως, μακαρίας μνήμης καὶ ἀφέσεως ἁμαρτιῶν πάντων τῶν προαπελθόντων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν

ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ, ὀρθοδόξων· ὑπὲρ ἀναρρύσεως τῶν αἰχμαλώτων καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν ταῖς διακονίαις ὄντων καὶ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ Μονῇ ταύτῃ, εἴπωμεν.

Ὁ α΄ χορός· Κύριε, ἐλέησον (γ΄, μ΄καὶ αὖθις γ΄).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Μονὴν ταύτην καὶ πᾶσαν μονήν, πόλιν καὶ χώραν ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ' ἡμῶν κινουμένην καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.

Οἱ χοροί· Κύριε, ἐλέησον μ΄, ἀνὰ ι΄ ἐναλλὰξ καὶ αὖθις ὁμοίως γ΄ ἐναλλάξ.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ α΄ χορός· Κύριε, ἐλέησον (γ΄).

Ἔπειτα ἐκφωνεῖ ὁ Ἱερεύς·

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐλέησον ἡμᾶς· ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Ἱερεὺς εὐλογῶν λέγει·

Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Καὶ κλινόμενος ἐπεύχεται ὁ Ἱερεὺς μεγαλοφώνως·

Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυ-

ροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· *τῶν ἐν ἁγίοις πατέρων ἡμῶν μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος τῶν θαυματουργῶν·* τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· *τῶν ἁγίων ἐνδόξων μεγάλων μαρτύρων Γεωργίου τοῦ τροπαιοφόρου καὶ Δημητρίου τοῦ μυροβλύτου, Θεοδώρου τοῦ τήρωνος καὶ τοῦ στρατηλάτου·* τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων· εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν· δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν· σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν· Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὁ χορός· Ἀμήν.

Οὕτω, περατωθείσης τῆς Λιτῆς, ὁ Ἱερεὺς ἄρας ἀνὰ χεῖρας τὴν εἰκόνα καὶ θέσας ταύτην ἐν τῷ οἰκείῳ τόπῳ, εἰσέρχεται ἑπόμενος τοῦ Διακόνου ἐν τῷ Βήματι.

Εἰς τὴν ἀρτοκλασίαν

Πληρωθέντων τῶν ἀποστίχων λέγεται τὸ Νῦν ἀπολύεις. Καὶ μετὰ τὸ Πάτερ ἡμῶν ἐκφωνεῖ ὁ Ἱερεὺς τὸ Ὅτι σοῦ ἐστιν ἡ βασιλεία.

Ψαλλομένου δὲ τοῦ τελευταίου ἀπολυτικίου ἢ τοῦ Θεοτόκε Παρθένε μεγαλοφώνως καὶ ἀργῶς ὑπὸ τοῦ χοροῦ ὁ Ἱερεὺς εὐλογεῖ ὡς συνήθως τὸ θυμίαμα· ὁ δὲ Διάκονος, εἰ πάρεστι, θυμιᾷ τοὺς ἄρτους κατὰ τὴν τάξιν. Πρὸ δὲ τοῦ τέλους τοῦ τροπαρίου ἐξέρχεται τοῦ βήματος ὁ Ἱερεὺς καί, λαβὼν ἄρτον ἕνα ἐπὶ χεῖρας, ἐκφωνεῖ ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μεγαλοφώνως – καὶ ὅτε λέγει αὐτὸς εὐλόγησον καὶ τοὺς ἄρτους ... εὐλογεῖ σταυροειδῶς ἅπαντα τὰ εἴδη – τὴν εὐχὴν τῆς ἀρτοκλασίας.

Κύριε, Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους ἐν τῇ ἐρήμῳ καὶ ἐξ αὐτῶν πεντακισχιλίους ἄνδρας χορτάσας, αὐτὸς εὐλόγησον καὶ τοὺς ἄρτους τούτους, τὸν σῖτον, τὸν οἶνον καὶ τὸ ἔλαιον, καὶ πλήθυνον αὐτὰ ἐν τῇ ἁγίᾳ Μονῇ (ἢ τῇ πόλει) ταύτῃ καὶ εἰς τὸν κόσμον σου ἅπαντα· καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας πιστοὺς δούλους σου ἁγίασον.

Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἐν δὲ τῷ τέλει τῆς εὐχῆς ἀσπάζονται ὅ τε Ἱερεὺς καὶ ὁ Διάκονος ἕνα τῶν ἄρτων καί, λεγομένου τοῦ Εὐλογήσω τὸν Κύριον, ποιήσαντες σχῆμα εἰσέρχονται πρῶτος ὁ Ἱερεὺς καὶ κατόπιν ὁ Διάκονος ἐν τῷ ἁγίῳ βήματι.

Μετὰ δὲ τὸ Πλούσιοι ἐπτώχευσαν λέγει ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεύς, ἐπὶ τῆς ὡραίας πύλης ἱστάμενος καὶ βλέπων πρὸς δυσμάς, εὐλογῶν τὸν λαὸν ἐκφωνεῖ·

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ' ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ τιθεμένης ἀναγνώσεως ἐκφωνεῖ ὁ ἀναγνώστης τὸ Εὐλόγησον, δέσποτα, ὁ δὲ Ἱερεὺς ἀποθέσας τὸ φελώνιον, ἔμπροσθεν τῆς ἁγίας Τραπέζης ἱστάμενος καὶ φέρων ἐπιτραχήλιον, ἄρχεται τῆς ἀκολουθίας τοῦ Ὄρθρου λέγων· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν ...

ΤΡΙΤΟΝ

ΤΟΥ

ΚΑΘΗΜΕΡΙΝΟΥ ΚΑΙ ΤΟΥ ΜΙΚΡΟΥ ΕΣΠΕΡΙΝΟΥ

Καθημερινὸς Ἑσπερινὸς
ἄνευ εἰσόδου

Μετὰ τὴν ἀπόλυσιν τῆς Θ΄ Ὥρας ποιεῖ ὁ Ἱερεὺς μετάνοιαν τῷ Προεστῶτι καὶ ἐλθὼν ἔξωθεν τῶν βημοθύρων, ἔμπροσθεν τῆς ὡραίας πύλης ἱστάμενος, εὐλογῶν συνήθως ἐνδύεται τὸ ἐπιτραχήλιον, καὶ βλέπων πρὸς ἀνατολάς, ἀνοιγέντος τοῦ καταπετάσματος, βάλλει εὐλογητὸν καὶ εὐθὺς ἀναγινώσκει τὰς εὐχὰς τοῦ λυχνικοῦ.

Πληρωθέντος τοῦ προοιμιακοῦ ψαλμοῦ λέγει τὰ εἰρηνικὰ ἐκ τῆς αὐτῆς θέσεως· καὶ μετὰ τὴν πλήρωσιν τῆς στιχολογίας τοῦ Ψαλτηρίου λέγει τὴν μικρὰν συναπτήν, μεθ' ἣν εἰσέρχεται διὰ τῆς νοτίου πύλης ἐν τῷ ἱερατείῳ, ἔνθα προσκυνεῖ συνήθως. Εἰς τὸ **Κατευθυνθήτω** εὐλογεῖ τὸ θυμίαμα καὶ θυμιᾷ κατὰ τὸ σύνηθες. Ἀποθέσας τὸ ἐπιτραχήλιον ἵσταται ἐν τῷ στασιδίῳ αὐτοῦ. Εἴσοδος οὐ γίνεται. Καὶ μετὰ τὸ **Καταξίωσον, Κύριε** ἔξωθεν τῶν βημοθύρων ἱστάμενος λέγει τὰ πληρωτικά·

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν...

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...

Τὴν ἑσπέραν πᾶσαν, τελείαν...

Ἄγγελον εἰρήνης...

Συγγνώμην καὶ ἄφεσιν...

Τὰ καλὰ καὶ συμφέροντα...

Τὸν ὑπόλοιπον χρόνον...

Χριστιανὰ τὰ τέλη...

Τῆς Παναγίας, ἀχράντου...

Ἐκφώνησις·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Ἱερεὺς εὐλογῶν τὸν λαὸν λέγει·

Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Ἱερεύς·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ Ἱερεὺς λέγει τὴν εὐχὴν τῆς κεφαλοκλισίας·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου· σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας, οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν· οὓς διαφύλαξον ἐν παντὶ καιρῷ καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας διαβολικῆς καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

Ἐκφώνως·

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καί, ἀποθέσας τὸ ἐπιτραχήλιον, ἵσταται ἐν τῷ οἰκείῳ τόπῳ. Δῆλον γάρ ἐστι ὅτι τὸ Ἑσπέρας προκείμενον δὲν ἐκφωνεῖται.

Μετὰ τὰ ἀπόστιχα, τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Πάτερ ἡμῶν ἐκφωνεῖ τὸ Ὅτι σοῦ ἐστιν ἡ βασιλεία

ἐκ τοῦ στασιδίου αὐτοῦ. Μετὰ δὲ τὸ ἀπολυτίκιον καὶ τὸ θεοτοκίον κατελθὼν ἵσταται καὶ αὖθις ἔμπροσθεν τῆς ὡραίας πύλης, ἔξωθεν τῶν βημοθύρων, καὶ λέγει τὴν ἐκτενῆ·

Ἐλέησον ἡμᾶς, ὁ Θεός...

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν...

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου...

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Πατρὸς ἡμῶν...

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν...

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς...

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων...

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων...

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν ταῖς διακονίαις ὄντων...

Ἐκφώνως·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ εὐθὺς ὁ Ἱερεύς·

Σοφία.

Ὁ χορός· Εὐλόγησον.

Καὶ ὁ Ἱερεὺς ἔνδοθεν·

Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ μετὰ τὸ Στερεῶσαι Κύριος ὁ Θεός... καὶ Τὴν τιμιωτέραν τῶν Χερουβίμ, ὁ Ἱερεὺς βλέπων πρὸς τὸν λαὸν λέγει·

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ χορός· Δόξα, καὶ νῦν, Κύριε, ἐλέησον (γ´), Πάτερ ἅγιε, εὐλόγησον.

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἁγίου (τοῦ ναοῦ καὶ τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶθ' οὕτω στραφεὶς πρὸς ἀνατολὰς λέγει τό·

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Μικρὸς Ἑσπερινὸς

Μετὰ τὴν ἀπόλυσιν τῆς Θ΄ Ὥρας, ὅτε μέλλει τελεσθῆναι ἀγρυπνία, ἄρχεται ἡ ἀκολουθία τοῦ μικροῦ Ἑσπερινοῦ. Ὁ Ἱερεύς, ποιήσας μετάνοιαν τῷ Προεστῶτι, ἵσταται ἔξωθεν τῶν βημοθύρων καὶ φέρων ἐπιτραχήλιον ἐκφωνεῖ τὸ **Εὐλογητὸς ὁ Θεὸς ἡμῶν...** καὶ ἄρχεται ὁ προοιμιακὸς ψαλμός, καθ' ὃν οὐκ ἀναγινώσκονται αἱ εὐχαὶ τοῦ λυχνικοῦ καὶ μεθ' ὃν οὐ λέγεται ἡ μεγάλη συναπτή, ἀλλὰ ψάλλεται εὐθὺς τὸ **Κύριε ἐκέκραξα.**

Εἰς τὸ **Κατευθυνθήτω** ὁ Ἱερεὺς εὐλογεῖ ὡς συνήθως τὸ θυμίαμα, τὴν δὲ θυμίασιν ποιεῖ ὁ ἐκκλησιαστικὸς μετὰ κατσίου, εἰ δ' οὐ ὁ Ἱερεύς, καὶ ἵσταται ἐν τῷ στασιδίῳ αὐτοῦ ἄχρι τῆς ἀπολύσεως οὐδὲν ἄλλο λέγων εἰ μὴ τὸ **Ὅτι σοῦ ἐστιν ἡ βασιλεία** μετὰ τὸ Τρισάγιον καὶ τὸ **Πάτερ ἡμῶν** ἐκ τοῦ οἰκείου τόπου.

Εἶτα λέγεται τὸ ἀπολυτίκιον καὶ ὁ Ἱερεύς, ἐλθὼν ἔμπροσθεν τῶν βημοθύρων φορέσας τὸ ἐπιτραχήλιον, ποιεῖ μικρὰν ἀπόλυσιν λέγων **Σοφία, Ὁ ὢν εὐλογητός...** καὶ τὰ ἑξῆς ὡς καὶ ἐν τῷ καθημερινῷ Ἑσπερινῷ γέγραπται.

ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ ΜΙΚΡΟΥ ΑΠΟΔΕΙΠΝΟΥ

Ἐπιστάντος τοῦ καιροῦ τοῦ Ἀποδείπνου, ποιήσας ὁ Ἱερεὺς μετάνοιαν τῷ Προεστῶτι, ἐλθὼν ἵσταται πρὸ τῆς πύλης τῆς λιτῆς καί, βαλὼν ἐπιτραχήλιον, ἐκφωνεῖ τὸ Εὐλογητὸς ὁ Θεὸς ἡμῶν... καὶ ἀναμένει ἐκεῖσε ἄχρι τῆς ἐκφωνήσεως Ὅτι σοῦ ἐστιν ἡ βασιλεία..., μεθ' ἣν ἀποθέσας τὸ ἐπιτραχήλιον ἵσταται ἐν τῷ στασιδίῳ αὐτοῦ.

Μετὰ τὸ Ἄξιόν ἐστιν ὡς ἀληθῶς..., τὸ Τρισάγιον, τὸ Πάτερ ἡμῶν λέγει ἐκ νέου ἐκ τῆς θέσεως αὐτοῦ τὸ Ὅτι σοῦ ἐστιν ἡ βασιλεία... καὶ μετὰ τὸ Ὁ ἐν παντὶ καιρῷ..., ὅταν εἴπῃ ὁ ἀναγνώστης τὸ Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ, λέγει ὁ Ἱερεὺς καὶ αὖθις ἐκ τοῦ οἰκείου τόπου·

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς· ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.

Καὶ λεγομένης τῆς εὐχῆς εἰς τὸν φύλακα Ἄγγελον ἐλθὼν ἔμπροσθεν τῆς πύλης τῆς λιτῆς φορεῖ ὁ Ἱερεὺς πάλιν ἐπιτραχήλιον καὶ μετὰ τὸ Τῇ ὑπερμάχῳ ἢ τὸ Θεοτόκε Παρθένε καὶ τὸ Πάτερ ἅγιε, εὐλόγησον βλέπων πρὸς δυσμὰς ποιεῖ μικρὰν ἀπόλυσιν οὕτω·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἁγίου (τοῦ ναοῦ καὶ τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ στραφεὶς πρὸς ἀνατολὰς λέγει·

Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ὑπὲρ τοῦ Πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν.

Ὑπὲρ εὐοδώσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου ἡμῶν στρατοῦ.

Ὑπὲρ τῶν ἀπολειφθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν.

Ὑπὲρ τῶν διακονούντων καὶ διακονησάντων ἡμῖν.

Ὑπὲρ τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς.

Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν.

Ὑπὲρ ἀναρρύσεως τῶν αἰχμαλώτων.

Ὑπὲρ τῶν ἐν θαλάσσῃ καλῶς πλεόντων.

Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων.

Εὐξώμεθα καὶ ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς.

Καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ, ὀρθοδόξων.

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον ἡμᾶς.

Ὁ ἀναγνώστης· Ἀμήν.

Εἶθ᾽ οὕτω, στραφεὶς πρὸς δυσμὰς ὁ Ἱερεὺς ποιεῖ μετάνοιαν ἐπὶ γῆς, λέγων τοῖς ἀδελφοῖς·

Εὐλογεῖτε, πατέρες ἅγιοι, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ.

Καὶ οἱ ἀδελφοί· Ὁ Θεὸς συγχωρήσαι σοι, πάτερ ἅγιε.

Καί, λαβόντες οἱ πάντες συγχώρησιν ἀπὸ τοῦ Προεστῶτος, ἀπέρχονται ἐν τοῖς κελλίοις.

ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ ΜΕΣΟΝΥΚΤΙΚΟΥ

Τοῦ καθ' ἡμέραν

Ὁ Ἱερεύς, ἐνδεδυμένος τὸ ἐπιτραχήλιον καὶ ἔμπροσθεν τῆς πύλης τῆς λιτῆς ἱστάμενος, λέγει τὸ Εὐλογητὸς ὁ Θεὸς ἡμῶν καί, ἀναμένων ἐκεῖσε, μετὰ τὸ Πάτερ ἡμῶν λέγει τὴν ἐκφώνησιν Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, μεθ' ἥν, ἀποθέσας τὸ ἐπιτραχήλιον, ἵσταται ἐν τῷ οἰκείῳ τόπῳ.

Μετὰ τὸ Πιστεύω εἰς ἕνα Θεόν, τὸ Τρισάγιον καὶ τὸ Πάτερ ἡμῶν λέγει ἐκ νέου ἐκ τοῦ στασιδίου αὐτοῦ τὸ Ὅτι σοῦ ἐστιν· καὶ μετὰ τὴν εὐχὴν Ὁ ἐν παντὶ καιρῷ καὶ τὸ Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ λέγει ὁ Ἱερεὺς τὸ Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς.

Μετὰ τὴν πλήρωσιν τοῦ ψαλμοῦ Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, τὸ Τρισάγιον, Πάτερ ἡμῶν λέγει ὁ Ἱερεὺς καὶ αὖθις ἐκ τοῦ στασιδίου αὐτοῦ τὸ Ὅτι σοῦ ἐστιν.

Μετὰ τὴν εὐχὴν Τὴν πᾶσαν ἐλπίδα μου ἢ τὸ τροπάριον Τῆς εὐσπλαγχνίας τὴν πύλην, ὁ Ἱερεὺς περιβληθεὶς τὸ ἐπιτραχήλιον, πρὸ τῆς πύλης τῆς λιτῆς ἱστάμενος καὶ βλέπων πρὸς ἀνατολάς, λέγει ἐκφώνως·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Μονὴν ταύτην καὶ πᾶσαν μονήν, πόλιν καὶ χώραν ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ' ἡμῶν κινουμένην καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

Ἐπάκουσον ἡμῶν ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐλέησον ἡμᾶς· ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμὴν καὶ εὐθύς·

Δόξα, καὶ νῦν, Κύριε ἐλέησον (γ´), Πάτερ ἅγιε, εὐλόγησον· καὶ ὁ Ἱερεὺς στραφεὶς πρὸς δυσμὰς ποιεῖ μικρὰν ἀπόλυσιν λέγων·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἁγίου (τοῦ ναοῦ καὶ τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ αὖθις βλέπων πρὸς ἀνατολὰς λέγει τὸ Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου καὶ τὰ λοιπὰ τοῦ Ἀποδείπνου ἄχρι καὶ τοῦ Δι᾽ εὐχῶν.

Τῆς Κυριακῆς

Ὁ Ἱερεύς, ἔμπροσθεν τῆς ὡραίας πύλης ἱστάμενος, βάλλει εὐλογητὸν καί, μετὰ τὸ Πάτερ ἡμῶν, λέγει τὸ Ὅτι σοῦ ἐστιν καί, ἀποθέσας τὸ ἐπιτραχήλιον, ἵσταται ἐν τῷ στασιδίῳ αὐτοῦ.

Μετὰ τὰ Τριαδικά, τὸ Τρισάγιον καὶ τὸ Πάτερ ἡμῶν λέγει καὶ αὖθις τὸ Ὅτι σοῦ ἐστιν καὶ εἶτα τὸ Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς μετὰ τὸ Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ ἐκ τοῦ οἰκείου τόπου.

Εἶτα, ἐλθὼν πρὸ τῆς ὡραίας πύλης καὶ περιβληθεὶς τὸ ἐπιτραχήλιον, εἰπόντος τοῦ ἀναγνώστου τὸ Πάτερ ἅγιε, εὐλόγησον, οὐ λέγει τὰς αἰτήσεις Ἐλέησον ἡμᾶς καὶ τὰ ἑξῆς τοῦ καθ᾽ ἡμέραν Μεσονυκτικοῦ, ἀλλ᾽ εὐθύς, βλέπων πρὸς δυσμάς, ποιεῖ ἀπόλυσιν μικρὰν λέγων Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς καὶ τὰ ἑξῆς. Εὐθὺς δὲ μετὰ τὴν ἀπόλυσιν στραφεὶς πρὸς ἀνατολὰς λέγει τὸ Εὐξώμεθα ὑπὲρ εἰρήνης κ.τ.λ. ἕως τοῦ Δι᾽ εὐχῶν.

ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ ΟΡΘΡΟΥ
ΚΑΙ ΠΡΩΤΟΝ
ΤΩΝ ΚΥΡΙΑΚΩΝ ΚΑΙ ΤΩΝ ΕΟΡΤΩΝ

Μετὰ τὴν ἀπόλυσιν τοῦ Μεσονυκτικοῦ ὁ Ἱερεύς, ποιήσας τὴν συνήθη μετάνοιαν τῷ Προεστῶτι, εἰσέρχεται ἐν τῷ ἁγίῳ βήματι καὶ προσκυνεῖ τρὶς ἐνώπιον τῆς ἁγίας Τραπέζης· εἶτα βαλὼν ἐπιτραχήλιον ἐκφωνεῖ·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ εὐλογήσας ὡς συνήθως τὸ θυμίαμα ἄρχεται θυμιᾶν τὸ ἱερατεῖον καὶ τὸν ναὸν ἅπαντα κατὰ τὸ ἔθος, τοῦ ἀναγνώστου ἀναγινώσκοντος τοὺς ψαλμοὺς Ἐπακούσαι σου Κύριος καὶ Κύριε ἐν τῇ δυνάμει σου, τὸ Τρισάγιον καὶ τὸ Πάτερ ἡμῶν, φροντίζων ὅπως εὑρεθῇ κάτωθεν τοῦ μεγάλου πολυελαίου ἵνα ἐκφωνήσῃ τό·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ εἰσελθὼν ἐν τῷ Βήματι ἀποτίθησι τὸ θυμιατήριον· καὶ ἔμπροσθεν τῆς ἁγίας Τραπέζης ἱστάμενος, μετὰ τὴν ἀνάγνωσιν τῶν τροπαρίων Σῶσον, Κύριε, τὸν λαόν σου, Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ καὶ τὸ Προστασία φοβερὰ λέγει εὐθὺς ὁ Ἱερεύς·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν.

Ἐκφώνησις·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Καὶ εὐθὺς ἐκφωνεῖ ὁ Ἱερεύς·

Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καί, λεγομένου τοῦ ἑξαψάλμου, ὁ Ἱερεὺς ἀναγινώσκει, ἱστάμενος πρῶτον μὲν ἀσκεπὴς πρὸ τῆς ἁγίας Τραπέζης, ἀπὸ δὲ τοῦ Δόξα Πατρί, μετὰ τοὺς τρεῖς πρώτους ψαλμούς, ἐξελθὼν διὰ τῆς βορείου πύλης, πρὸ τῆς εἰκόνος τοῦ Χριστοῦ τὰς ἑωθινὰς εὐχάς·

Εὐχὴ α΄

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, τῷ ἐξαναστήσαντι ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν καὶ ἐμβαλόντι εἰς τὸ στόμα ἡμῶν λόγον αἰνέσεως, τοῦ προσκυνεῖν καὶ ἐπικαλεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον· καὶ δεόμεθα τοῖς σοῖς οἰκτιρμοῖς, οἷς πάντοτε ἐχρήσω περὶ τὴν ἡμετέραν ζωήν. Καὶ νῦν ἐξαπόστειλον τὴν βοήθειάν σου ἐπὶ τοὺς ἑστῶτας πρὸ προσώπου τῆς ἁγίας δόξης σου καὶ ἀπεκδεχομένους τὸ παρὰ σοῦ πλούσιον ἔλεος καὶ δὸς αὐτοῖς μετὰ φόβου καὶ ἀγάπης πάντοτέ σοι λατρεύειν, αἰνεῖν, ὑμνεῖν, προσκυνεῖν, τὴν ἀνεκδιήγητόν σου ἀγαθότητα.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ β΄

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σέ, ὁ Θεὸς ἡμῶν, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς· δικαιοσύνην καὶ ἁγιασμὸν ἐπιτελεῖν ἐν τῷ φόβῳ σου, συνέτισον ἡμᾶς· σὲ γὰρ δοξάζομεν τὸν ὄντως ὄντα Θεὸν ἡμῶν. Κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν· καὶ μνήσθητι, Κύριε, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν πάντων κατ᾿ ὄνομα καὶ σῶσον αὐτοὺς τῇ

δυνάμει σου· εὐλόγησον τὸν λαόν σου καὶ ἁγίασον τὴν κληρονομίαν σου· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν καὶ παντὶ τῷ λαῷ σου.

Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ γ΄

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σέ, ὁ Θεός, διότι φῶς τὰ προστάγματά σου. Δίδαξον ἡμᾶς, ὁ Θεός, τὴν δικαιοσύνην σου, τὰς ἐντολάς σου καὶ τὰ δικαιώματά σου· φώτισον τοὺς ὀφθαλμοὺς τῶν διανοιῶν ἡμῶν, μήποτε ὑπνώσωμεν ἐν ἁμαρτίαις εἰς θάνατον· ἀπέλασον πάντα ζόφον ἀπὸ τῶν καρδιῶν ἡμῶν· χάρισαι ἡμῖν τὸν τῆς δικαιοσύνης ἥλιον καὶ ἀνεπηρέαστον τὴν ζωὴν ἡμῶν διαφύλαξον ἐν τῇ σφραγῖδι τοῦ ἁγίου σου Πνεύματος· κατεύθυνον τὰ διαβήματα ἡμῶν εἰς ὁδὸν εἰρήνης· δὸς ἡμῖν ἰδεῖν τὸν ὄρθρον καὶ τὴν ἡμέραν ἐν ἀγαλλιάσει, ἵνα σοι τὰς ἑωθινὰς ἀναπέμπωμεν εὐχάς.

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ δ΄

Δέσποτα ὁ Θεός, ὁ ἅγιος καὶ ἀκατάληπτος, ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὁ ἀναπαύσας ἡμᾶς ἐν τῷ τῆς νυκτὸς ὕπνῳ καὶ διαναστήσας πρὸς δοξολογίαν καὶ ἱκεσίαν τῆς σῆς ἀγαθότητος, δυσωπούμενος ὑπὸ τῆς ἰδίας σου εὐσπλαγχνίας, πρόσδεξαι ἡμᾶς καὶ νῦν προσκυνοῦντάς σε καὶ κατὰ δύναμιν εὐχαριστοῦντάς σοι καὶ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα· ἀνάδειξον ἡμᾶς υἱοὺς φωτὸς καὶ ἡμέρας καὶ κληρονόμους τῶν αἰωνίων σου ἀγαθῶν. Μνήσθητι, Κύριε, ἐν τῷ πλήθει τῶν οἰκτιρμῶν σου καὶ παντὸς τοῦ λαοῦ σου, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, τῶν ἐν γῇ, τῶν ἐν θαλάσσῃ, τῶν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου δεομένων τῆς σῆς φιλανθρωπίας καὶ βοηθείας, καὶ πᾶσι χορήγησον τὸ μέγα σου ἔλεος.

Ἵνα, σεσωσμένοι ψυχῇ τε καὶ σώματι πάντοτε διαμένοντες, μετὰ παρρησίας δοξάζωμεν τὸ θαυμαστὸν καὶ εὐλογημένον ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ε΄

Ἀγαθῶν θησαυρέ, πηγὴ ἀέναος, Πάτερ ἅγιε, θαυμαστοποιέ, παντοδύναμε καὶ παντοκράτορ, πάντες σὲ προσκυνοῦμεν καὶ σοῦ δεόμεθα, τὰ σὰ ἐλέη καὶ τοὺς σοὺς οἰκτιρμοὺς ἐπικαλούμενοι εἰς βοήθειαν καὶ ἀντίληψιν τῆς ἡμετέρας ταπεινώσεως. Μνήσθητι, Κύριε, τῶν σῶν ἱκετῶν· πρόσδεξαι πάντων ἡμῶν τὰς ἑωθινὰς δεήσεις, ὡς θυμίαμα ἐνώπιόν σου, καὶ μηδένα ἡμῶν ἀδόκιμον ποιήσῃς, ἀλλὰ πάντας ἡμᾶς περιποίησαι διὰ τῶν οἰκτιρμῶν σου. Μνήσθητι, Κύριε, τῶν ἀγρυπνούντων καὶ ψαλλόντων εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν καὶ τοῦ ἁγίου σου Πνεύματος. Γενοῦ αὐτῶν βοηθὸς καὶ ἀντιλήπτωρ· πρόσδεξαι αὐτῶν τὰς ἱκεσίας εἰς τὸ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ς΄

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, ὅτι πάντα ποιεῖς εἰς εὐεργεσίαν τῆς ζωῆς ἡμῶν, ἵνα διὰ παντὸς πρὸς σὲ ἀποβλέπωμεν, τὸν σωτῆρα καὶ εὐεργέτην τῶν ἡμετέ-

ρων ψυχῶν· ὅτι διανέπαυσας ἡμᾶς ἐν τῷ παρελθόντι τῆς νυκτὸς μέτρῳ καὶ ἐξήγειρας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν καὶ ἔστησας εἰς προσκύνησιν τοῦ τιμίου ὀνόματός σου. Διὸ δεόμεθά σου, Κύριε· δὸς ἡμῖν χάριν καὶ δύναμιν, ἵνα καταξιωθῶμεν ψάλλειν σοι συνετῶς καὶ προσεύχεσθαι ἀδιαλείπτως ἐν φόβῳ καὶ τρόμῳ, τὴν ἑαυτῶν σωτηρίαν κατεργαζόμενοι, διὰ τῆς ἀντιλήψεως τοῦ Χριστοῦ σου. Μνήσθητι, Κύριε, καὶ τῶν ἐν νυκτὶ πρὸς σὲ βοώντων· ἐπάκουσον αὐτῶν καὶ ἐλέησον καὶ σύντριψον ὑπὸ τοὺς πόδας αὐτῶν τοὺς ἀοράτους καὶ πολεμίους ἐχθρούς.

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ζ΄

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐξαναστήσας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν καὶ ἐπισυναγαγὼν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς, δὸς ἡμῖν χάριν ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν καὶ πρόσδεξαι ἡμῶν τὰς κατὰ δύναμιν εὐχαριστίας· καὶ δίδαξον ἡμᾶς τὰ δικαιώματά σου, ὅτι προσεύξασθαι καθ᾽ ὃ δεῖ οὐκ οἴδαμεν, ἐὰν μὴ σύ, Κύριε, τῷ Πνεύματί σου τῷ

ἁγίῳ ὁδηγήσῃς ἡμᾶς. Διό, δεόμεθά σου· εἴ τι ἡμάρτομεν μέχρι τῆς παρούσης ὥρας, ἐν λόγῳ ἢ ἔργῳ ἢ κατὰ διάνοιαν, ἑκουσίως ἢ ἀκουσίως, ἄνες, ἄφες, συγχώρησον· ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ἡ ἀπολύτρωσις. Σὺ εἶ μόνος ἅγιος, βοηθός, κραταιὸς ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν καὶ ἐν σοὶ ἡ ὕμνησις ἡμῶν διαπαντός.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ η΄

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν τοῦ ὕπνου ῥαθυμίαν ἀποσκεδάσας ἀφ᾽ ἡμῶν, καὶ συγκαλέσας ἡμᾶς κλήσει ἁγίᾳ, τοῦ καὶ ἐν νυκτὶ ἐπάραι τὰς χεῖρας ἡμῶν καὶ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου, πρόσδεξαι τὰς δεήσεις ἡμῶν, τὰς ἐντεύξεις, τὰς ἐξομολογήσεις, τὰς νυκτερινὰς λατρείας· καὶ χάρισαι ἡμῖν, ὁ Θεός, πίστιν ἀκαταίσχυντον, ἐλπίδα βεβαίαν, ἀγάπην ἀνυπόκριτον· εὐλόγησον ἡμῶν εἰσόδους καὶ ἐξόδους, πράξεις, ἔργα, λόγους, ἐνθυμήσεις· καὶ δὸς ἡμῖν καταντῆσαι εἰς τὰς ἀρχὰς τῆς ἡμέρας, αἰνοῦντας, ὑμνοῦντας, εὐλογοῦντας τῆς σῆς ἀφράστου χρηστότητος τὴν ἀγαθότητα.

Ὅτι ηὐλόγηται τὸ πανάγιόν σου ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ θ΄

Λάμψον, Δέσποτα φιλάνθρωπε, ἐν ταῖς καρδίαις ἡμῶν τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς καὶ τοὺς τῆς διανοίας ἡμῶν ὀφθαλμοὺς διάνοιξον εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα πάσας τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν φρονοῦντες καὶ πράττοντες.

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ι΄

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν διὰ μετανοίας ἄφεσιν τοῖς ἀνθρώποις δωρησάμενος καὶ τύπον ἡμῖν ἐπιγνώσεως ἁμαρτημάτων καὶ ἐξομολογήσεως τὴν τοῦ προφήτου Δαυῒδ μετάνοιαν πρὸς συγχώρησιν ὑποδείξας· αὐτός, Δέσποτα,

πολλοῖς ἡμᾶς καὶ μεγάλοις περιπεπτωκότας πλημμελήμασιν, ἐλέησον κατὰ τὸ μέγα σου ἔλεος, καί, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὰ ἀνομήματα ἡμῶν· ὅτι σοὶ ἡμάρτομεν, Κύριε, τῷ καὶ τὰ ἄδηλα καὶ κρύφια τῆς καρδίας τῶν ἀνθρώπων γινώσκοντι καὶ μόνῳ ἔχοντι ἐξουσίαν ἀφιέναι ἁμαρτίας. Καρδίαν δὲ καθαρὰν κτίσας ἐν ἡμῖν καὶ πνεύματι ἡγεμονικῷ στηρίξας ἡμᾶς καὶ τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου γνωρίσας ἡμῖν, μὴ ἀπορρίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου· ἀλλ' εὐδόκησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς προσφέρειν σοι θυσίαν δικαιοσύνης καὶ ἀναφορὰν ἐν τοῖς ἁγίοις σου θυσιαστηρίοις.

Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ια´

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὰς νοερὰς καὶ λογικὰς ὑποστησάμενος δυνάμεις τῷ σῷ θελήματι, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν, πρόσδεξαι ἡμῶν μετὰ τῶν κτισμάτων σου πάντων τὴν κατὰ δύναμιν δοξολογίαν καὶ ταῖς πλουσίαις τῆς σῆς ἀγαθότητος ἀντάμειψαι δωρεαῖς· ὅτι σοὶ

κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα πνοὴ καὶ κτίσις ὑμνεῖ τὴν ἀκατάληπτόν σου δόξαν· μόνος γὰρ εἶ Θεὸς ἀληθινὸς καὶ πολυέλεος.

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν,* τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ιβ΄

Αἰνοῦμεν, ὑμνοῦμεν, εὐλογοῦμεν καὶ εὐχαριστοῦμεν σοι, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὅτι παρήγαγες τὴν σκιὰν τῆς νυκτὸς καὶ ἔδειξας ἡμῖν πάλιν τὸ φῶς τῆς ἡμέρας· ἀλλ᾿ ἱκετεύομεν τὴν σὴν ἀγαθότητα· ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν καὶ πρόσδεξαι τὴν δέησιν ἡμῶν ἐν τῇ μεγάλῃ σου εὐσπλαγχνίᾳ, ὅτι πρὸς σὲ καταφεύγομεν, τὸν ἐλεήμονα καὶ παντοδύναμον Θεόν· λάμψον ἐν ταῖς καρδίαις ἡμῶν τὸν ἀληθινὸν ἥλιον τῆς δικαιοσύνης σου· φώτισον τὸν νοῦν ἡμῶν καὶ τὰς αἰσθήσεις ὅλας διατήρησον, ἵνα, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατοῦντες τὴν ὁδὸν τῶν ἐντολῶν σου, καταντήσωμεν εἰς τὴν ζωὴν τὴν αἰώνιον· ὅτι παρὰ σοί ἐστιν ἡ πηγὴ τῆς ζωῆς καὶ ἐν ἀπολαύσει γενέσθαι καταξιωθῶμεν τοῦ ἀπροσίτου φωτός.

*(Σημ. Ἐπιμελητοῦ: βλ. ἐνδεικτικῶς χφ, ἀριθμ. 159β, Ἱερατικὸν Ἱ. Μ. Σίμωνος Πέτρας, α΄ ἥμισυ 19ου αἰ., ὡς καὶ εἰς πλείστας ἐκδόσεις Ἁγιασματαρίων Βενετίας ὡς π.χ. τῶν ἐτῶν: 1779, 1793, 1838, καὶ πολλῶν ἑτέρων.)

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καί, ἀσπασάμενος τὴν δεσποτικὴν εἰκόνα, εἰσέρχεται διὰ τῆς νοτίου πύλης ἐν τῷ ἱερῷ βήματι. Πληρωθέντος δὲ τοῦ ἑξαψάλμου, λέγει ὁ Ἱερεύς, ἐνώπιον τῆς ἁγίας Τραπέζης, τὰ εἰρηνικά·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Μονῆς (ἢ τῆς πόλεως) ταύτης, πάσης μονῆς, πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ τὴν α´ στιχολογίαν ποιεῖ ὁ Ἱερεὺς μικρὰν συναπτὴν λέγων·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ τὴν β´ στιχολογίαν καὶ αὖθις τὴν μικρὰν συναπτήν·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...
Τῆς Παναγίας, ἀχράντου...

Ἐκφώνησις·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ τὰ εὐλογητάρια ἢ τὸν πολυέλεον λέγει ὁ Ἱερεὺς μικρὰν συναπτὴν ὡς ἀνωτέρω·

Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς Παναγίας...

Καὶ ἡ ἐκφώνησις·

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ψαλλομένων τῶν ἀναβαθμῶν εἰσέρχεται ὁ Ἱερεὺς ἅμα τῷ Διακόνῳ ἐντὸς τοῦ ἁγίου βήματος· καί, ἐνδυθεὶς ἐπιτραχήλιον καὶ φελώνιον, μετὰ τὴν συμπλήρωσιν τῶν ἀντιφώνων καὶ τοῦ προκειμένου ἐκφωνεῖ ὁ Ἱερεὺς πρὸ τῆς ἁγίας Τραπέζης ἢ ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ δὲ τὸ Πᾶσα πνοὴ ἐκφωνεῖ

ὁ Διάκονος·

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Ὁ χορός· Κύριε, ἐλέησον (γ΄).

Ὁ Διάκονος·

Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ἐκ τοῦ κατὰ (δεῖνα) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ Διάκονος· Πρόσχωμεν.

Καὶ ἀναγινώσκει ὁ Ἱερεὺς τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου, κατὰ μὲν τὰς Κυριακὰς τὸ ἑωθινόν, ἱστάμενος ἐν τῇ δεξιᾷ πλευρᾷ τῆς ἁγίας Τραπέζης, κατὰ δὲ τὰς ἄλλας ἡμέρας ἢ ἑορτὰς ἀπὸ τῆς ὡραίας πύλης.

Εἶτα, ἐν Κυριακῇ, τοῦ χοροῦ ψάλλοντος τὸν στίχον Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τοῦ Ν΄ ψαλμοῦ, ὁ Ἱερεύς, χαλάσας τὸ φελώνιον καὶ βαστάζων τὸ ἅγιον Εὐαγγέλιον ἔμπροσθεν τοῦ στήθους ἐξέρχεται ἐκ τῆς ὡραίας πύλης καὶ ἵσταται ἐν τῷ μέσῳ τοῦ ναοῦ, ἔνθα γίνεται ὁ ἀσπασμὸς αὐτοῦ· μεθ' ὃν εἰσέρχεται ἐν τῷ Βήματι καὶ αὖθις διὰ τῆς ὡραίας πύλης καὶ ἀποτίθησι τοῦτο ἐπὶ τῇ ἁγίᾳ Τραπέζῃ.

Μετὰ τὴν συμπλήρωσιν τῶν συνήθως ψαλλομένων τροπαρίων ὁ Ἱερεὺς πρὸ τῆς ἁγίας Τραπέζης ἱστάμενος ἤ, εἰ πάρεστι, ὁ Διάκονος λέγει μεγαλοφώνως·

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς, ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· *τῶν ἐν ἁγίοις πατέρων ἡμῶν μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τρι-*

μυθοῦντος τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· *τῶν ἁγίων ἐνδόξων μεγάλων μαρτύρων Γεωργίου τοῦ τροπαιοφόρου καὶ Δημητρίου τοῦ μυροβλύτου, Θεοδώρου τοῦ τήρωνος καὶ τοῦ στρατηλάτου·* τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων· ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Ὁ χορός· Κύριε, ἐλέησον (ιβ΄).

Ὁ Ἱερεὺς ἐκφώνως·

Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀρχομένων τῶν κανόνων ψάλλεσθαι ὁ Ἱερεύς, εὐλογήσας ὡς συνήθως τὸ θυμίαμα, θυμιᾷ τό τε ἱερατεῖον καὶ τὸν ναὸν ἅπαντα ὡς ἔθος, εἰ οὐ πάρεστι Διάκονος.

Μετὰ τὸ τέλος τῆς γ΄ ᾠδῆς λέγει

ὁ Διάκονος·

Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς Παναγίας...

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ τὴν στ΄ ᾠδὴν ποιεῖ ὁ Ἱερεὺς αὖθις μικρὰν συναπτήν·

Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς Παναγίας...

Ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τῆς η΄ ᾠδῆς πληρωθείσης, βλέπων πρὸς τὸν λαὸν ἐκ τῆς ὡραίας πύλης λέγει μεγαλοφώνως ὁ Ἱερεὺς ἤ, εἰ ἔστι, ὁ Διάκονος·

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Καὶ εὐθὺς θυμιᾷ κατὰ τὴν τάξιν τὸ ἱερατεῖον καὶ ἅπαντα τὸν ναόν. Πληρωθείσης δὲ τῆς θ΄ ᾠδῆς ποιεῖ μικρὰν συναπτὴν λέγων ὁ Διάκονος·

Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς Παναγίας...

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν,* τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* (Ὅρα σημείωσιν σελ. 50).

Μετὰ τὴν δοξολογίαν καὶ τὸ ἀπολυτίκιον τῆς ἡμέρας, πρὸ τῆς ἁγίας Τραπέζης ἱστάμενος, λέγει τὴν ἐκτενῆ ὁ Ἱερεύς, ἢ ὁ Διάκονος·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ

ὀρθοδόξων χριστιανῶν τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας Ἐκκλησίας ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ, ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν ταῖς διακονίαις ὄντων καὶ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ Μονῇ ταύτῃ.

Ἐκφώνως ὁ Ἱερεύς·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα τὰ πληρωτικά·

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Καὶ ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ Ἱερεὺς κλινόμενος ἐπεύχεται τὴν εὐχὴν τῆς κεφαλοκλισίας·

Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν καὶ τῷ πανтεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν, σοὶ ἐκλίναμεν τὸν αὐχένα τῆς ψυχῆς καὶ τοῦ σώματος

καὶ δεόμεθά σου, ἅγιε ἁγίων· ἔκτεινον τὴν χεῖρά σου τὴν ἀόρατον ἐξ ἁγίου κατοικητηρίου σου καὶ εὐλόγησον πάντας ἡμᾶς· καὶ εἴ τι ἡμάρτομεν ἑκουσίως ἢ ἀκουσίως, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, δωρούμενος ἡμῖν τὰ ἐγκόσμια καὶ ὑπερκόσμια ἀγαθά σου.

Ἐκφώνως·

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σῴζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Διάκονος· Σοφία.

Ὁ χορός· Εὐλόγησον.

Καὶ ὁ Ἱερεὺς ἔνδοθεν·

Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ λέγεται τὸ Στερεῶσαι Κύριος ὁ Θεός, ὁ δὲ Ἱερεὺς ἐπὶ τῆς ὡραίας πύλης ἱστάμενος καὶ βλέπων πρὸς τὸν λαὸν λέγει·

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ χορός· Δόξα, καὶ νῦν, Κύριε, ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ δὲ Ἱερεὺς χαλάσας τὸ φελώνιον ποιεῖ τὴν μεγάλην ἀπόλυσιν· καὶ ἐν μὲν τῇ Κυριακῇ ἄρχεται λέγων Ὁ ἀναστὰς ἐκ νεκρῶν ἢ ἐν δεσποτικῇ ἑορτῇ τὸ χαρακτηριστικὸν αὐτῆς, ἐν ἄλλῃ δὲ ἡμέρᾳ·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ στρεφόμενος πρὸς ἀνατολὰς λέγει τό·

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

ΔΕΥΤΕΡΟΝ

ΤΟΥ

ΚΑΘΗΜΕΡΙΝΟΥ ΚΑΙ ΤΟΥ ΤΩΝ ΑΓΡΥΠΝΙΩΝ ΟΡΘΡΟΥ



Καθημερινὸς Ὄρθρος

Ἐν ταῖς καθημεριναῖς ἡμέραις ὁ Ἱερεὺς μετὰ ἐπιτραχηλίου μόνον, μετὰ τὴν ἀνάγνωσιν τῶν ἑωθινῶν εὐχῶν, ἵσταται ἔξωθεν τῶν βημοθύρων καὶ λέγει ἔμπροσθεν τῆς ὡραίας πύλης τὰ εἰρηνικὰ καὶ εἶτα τὰς αἰτήσεις μόνον τῆς γ΄, στ΄ καὶ θ΄ ᾠδῆς. Εὐαγγέλιον δὲν ἀναγινώσκεται. Εἰς τὴν θ΄ ᾠδὴν θυμιᾷ.

Μετὰ τὴν μικρὰν δοξολογίαν λέγει ἐκ τοῦ ἰδίου τόπου τὰ πληρωτικά·

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν...
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...
Τὴν ἡμέραν πᾶσαν, τελείαν...
Ἄγγελον εἰρήνης...
Συγγνώμην καὶ ἄφεσιν...
Τὰ καλὰ καὶ συμφέροντα...
Τὸν ὑπόλοιπον χρόνον...
Χριστιανὰ τὰ τέλη...
Τῆς Παναγίας, ἀχράντου...

Ἐκφώνησις·

Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Ἱερεύς·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ Ἱερεὺς κλινόμενος ἐπεύχεται τὴν εὐχὴν τῆς κεφαλοκλισίας·

Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν καὶ τῷ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν, σοὶ ἐκλίναμεν τὸν αὐχένα τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ δεόμεθά σου, ἅγιε ἁγίων· ἔκτεινον τὴν χεῖρά σου τὴν ἀόρατον ἐξ ἁγίου κατοικητηρίου σου καὶ εὐλόγησον πάντας ἡμᾶς· καὶ εἴ τι ἡμάρτομεν ἑκουσίως ἢ ἀκουσίως, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, δωρούμενος ἡμῖν τὰ ἐγκόσμια καὶ ὑπερκόσμια ἀγαθά σου.

Ἐκφώνως·

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σῴζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Μετὰ τὸ πέρας ἑκάστης ἐκφωνήσεως ὁ Ἱερεύς, ἀποθέσας τὸ ἐπιτραχήλιον, ἵσταται ἐν τῷ στασιδίῳ αὐτοῦ.

Μετὰ τὰ ἀπόστιχα, τὸ Τρισάγιον καὶ τὸ Πάτερ ἡμῶν λέγει ἐκ τοῦ στασιδίου αὐτοῦ τὸ Ὅτι σοῦ ἐστιν· καὶ μετὰ τὸ ἀπολυτίκιον τῆς ἡμέρας καὶ τὸ θεοτοκίον ἔμπροσθεν τῶν βημοθύρων λέγει τὴν ἐκτενῆ·

Ἐλέησον ἡμᾶς, ὁ Θεός...

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν...

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου...

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Πατρὸς ἡμῶν...

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν...

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς...

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων...

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων...

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν ταῖς διακονίαις ὄντων...

Ἐκφώνησις·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεύς· Σοφία.

Ὁ χορός· Εὐλόγησον.

Καὶ ὁ Ἱερεὺς ἔνδοθεν·

Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ λέγεται τὸ Στερεώσαι Κύριος ὁ Θεός...

Εἶτα, εἰ οὐκ ἐπισυνάπτεται τῷ Ὄρθρῳ ἡ Α΄ Ὥρα, βλέπων πρὸς τὸν λαὸν λέγει ὁ Ἱερεὺς τὴν μικρὰν ἀπόλυσιν οὕτω·

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ χορός· Δόξα, καὶ νῦν, Κύριε, ἐλέησον *(γ΄)*, Πάτερ ἅγιε, εὐλόγησον.

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἁγίου (τοῦ ναοῦ καὶ τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ στρεφόμενος πρὸς ἀνατολὰς λέγει τό·

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

- *Εἰ δὲ ἔστι μεγάλη δοξολογία ὁ Ἱερεὺς λέγει τὴν ἐκτενῆ καὶ τὰ πληρωτικὰ μετὰ τὸ ἀπολυτίκιον, ὡς ἐν τῷ Ὄρθρῳ τῶν ἑορτῶν, καὶ ποιεῖ τὴν μικρὰν ἀπόλυσιν χωρὶς τὸ* Δι' εὐχῶν, *ὅτε ἐπισυνάπτεται τῷ Ὄρθρῳ ἡ Α΄ Ὥρα.*

- *Ὅτε δὲ ὁ Ὄρθρος τελεῖται συναπτῶς μετὰ τῆς θ. Λειτουργίας, τότε πᾶσαι αἱ αἰτήσεις καὶ συναπταί, αἱ μετὰ τὴν ἔνδυσιν τοῦ Ἱερέως γινόμεναι, ἐκφωνοῦνται ἐνώπιον τῆς ἁγίας Τραπέζης καὶ οὐχὶ ἔξωθεν τῶν βημοθύρων.*

Ὄρθρος τῶν Ἀγρυπνιῶν

Ἐν τῷ Ὄρθρῳ τῶν ἀγρυπνιῶν τὰ τοῦ Ἱερέως ἀπαράλλακτά εἰσι μὲ τὰ τοῦ Ὄρθρου τῶν ἑορτῶν. Ὅμως οὐ θυμιᾷ κατὰ τὴν ἔναρξιν αὐτοῦ, ἀλλ' ἀμέσως μετὰ τὴν ἐκφώνησιν τοῦ Εὐλογητὸς ὁ Θεὸς ἡμῶν γίνεται ἡ ἀνάγνωσις καὶ εὐθὺς ἄρχεται ὁ ἑξάψαλμος.

Εἰς τὰς λέξεις Σοὶ πρέπει ὕμνος τῷ Θεῷ τοῦ στίχου Πᾶσα πνοὴ τῶν αἴνων, ἐνδυθεὶς ὁ Ἱερεὺς πρότερον ἐπιτραχήλιον καὶ φελώνιον, ἐξέρχεται ἐκ τῆς ὡραίας πύλης καί, λαβὼν τὴν χριαλίδα, ποιεῖ μετ' αὐτῆς πρῶτον τὸ σημεῖον τοῦ σταυροῦ τρὶς ἐπὶ τῆς εἰκόνος τοῦ ἑορταζομένου ἁγίου καὶ εἶτα, εἰ ἔστι, ἅπαξ ἐπὶ τοῦ τιμίου λειψάνου αὐτοῦ καί, ἐλθὼν ἐν τῷ μέσῳ τοῦ ναοῦ ἢ τοῦ σολέα, χρίει μετὰ ἐλαίου ἐκ τῆς κανδήλας τοῦ ἁγίου, ποιῶν μικρὸν σταυρὸν ἐπὶ τοῦ μετώπου τῶν ἀδελφῶν καὶ λέγων ἑνὶ ἑκάστῳ·

Εἰς ἴασιν ψυχῆς τε καὶ σώματος.

Εἰ πάρεστι ὁ Προεστώς, χρίεται ὁ Ἱερεὺς πρῶτον ὑπ' αὐτοῦ καὶ εἶτα οὗτος χρίει τὸν Προεστῶτα. Εἰ δ' οὔ, χρίσας ὁ Ἱερεὺς τὸν πρῶτον τῇ τάξει Ἱερέα, χρίεται εἶτα οὗτος ὑπ' αὐτοῦ.

Περατωθείσης δὲ τῆς χρίσεως, ἀποθέσας τὴν χριαλίδα, ἀσπάζεται τὴν εἰκόνα τοῦ ἑορταζομένου ἁγίου καί, ποιήσας σχῆμα ἐν τῷ μέσῳ τοῦ ναοῦ, εἰσέρχεται διὰ τῆς ὡραίας πύλης ἐν τῷ Βήματι.



ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΩΡΩΝ

Ἐν πάσαις ταῖς Ὥραις, ἤγουν τῇ Α΄, Γ΄, ΣΤ΄ καὶ Θ΄, τὰ τοῦ Ἱερέως τὰ αὐτά εἰσι.

Εἰς τὴν ἀρχὴν τῆς Γ΄ ἢ Θ΄ Ὥρας καὶ ὅτε ἡ Α΄ Ὥρα οὐκ ἐπισυνάπτεται τῷ Ὄρθρῳ καὶ ἡ ΣΤ΄ τῇ Γ΄ Ὥρᾳ (ὡς π.χ. ἐν ταῖς Μεγάλαις Ὥραις τῶν παραμονῶν τῶν Χριστουγέννων καὶ ἄλλων Δεσποτικῶν ἑορτῶν) ὁ Ἱερεὺς ποιεῖ τὴν ἔναρξιν τῆς ἀκολουθίας λέγων·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁσάκις ὁ ἀναγνώστης λέγει τὸ Πάτερ ἡμῶν, ὁ Ἱερεὺς ἐκφωνεῖ τό·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁσάκις ὁ ἀναγνώστης λέγει μετὰ τὴν εὐχὴν Ὁ ἐν παντὶ καιρῷ τὸ Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ ὁ Ἱερεὺς λέγει τό·

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς· ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.

Εἰς τὸ τέλος τῆς Α΄, ΣΤ΄ ἢ Θ΄ Ὥρας ποιεῖ ὁ Ἱερεὺς μικρὰν ἀπόλυσιν λέγων οὕτως·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ ἁγίου (τοῦ ναοῦ καὶ τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.



ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΠΡΟΣΚΟΜΙΔΗΣ

Μέλλων ὁ Ἱερεὺς τὴν θείαν ἐπιτελεῖν μυσταγωγίαν, ὀφείλει προηγουμένως μὲν κατηλλαγμένος εἶναι μετὰ πάντων καὶ μὴ ἔχειν τι κατά τινος καὶ τὴν καρδίαν ὅση δύναμις ἀπὸ πονηρῶν τηρῆσαι λογισμῶν, ἐγκρατεύεσθαί τε μικρὸν ἀφ᾽ ἑσπέρας καὶ ἐγρηγορέναι μέχρι τοῦ τῆς ἱερουργίας καιροῦ.

Τούτου δὲ ἐπιστάντος ὁ Ἱερεὺς καὶ ὁ Διάκονος ποιοῦσι μετάνοιαν τῷ Προεστῶτι καί, ἐρχόμενοι πρὸ τῶν ἁγίων θυρῶν, προσκυνοῦσι τρὶς κατὰ ἀνατολάς.

Ὁ Διάκονος· *Εὐλόγησον, δέσποτα.*

Ὁ Ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος· Ἀμήν.

Ὁ Ἱερεύς·

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε.

Ὁ Διάκονος·

Τὸ Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν.

Ὁ Ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία.

Ὁ Διάκονος· Ἀμήν.

Ὁ Ἱερεύς·

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς·* πάσης γὰρ ἀπολογίας ἀποροῦντες,* ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

Ὁ Διάκονος· Δόξα Πατρί...

Κύριε, ἐλέησον ἡμᾶς·* ἐπὶ σοὶ γὰρ πεποίθαμεν·* μὴ ὀργισθῇς ἡμῖν σφόδρα,* μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν·* ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος* καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν·* σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου·* πάντες ἔργα χειρῶν σου* καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Ὁ Ἱερεύς· Καὶ νῦν...

Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε,* ἐλπίζοντες εἰς σέ,* μὴ ἀστοχήσωμεν,* ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Ὁ Διάκονος· Κύριε ἐλέησον (ιβ΄).

Ἔπειτα ἀσπάζονται τὴν εἰκόνα τοῦ Χριστοῦ λέγοντες·

Τὴν ἄχραντον εἰκόνα σου* προσκυνοῦμεν, ἀγαθέ,* αἰτούμενοι συγχώρησιν* τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός·* βουλήσει γὰρ ηὐδόκησας* σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ,* ἵνα ῥύσῃ οὓς ἔπλασας* ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ.* Ὅθεν εὐχαρίστως βοῶμέν σοι·*χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν,* παραγενόμενος* εἰς τὸ σῶσαι τὸν κόσμον.

Καὶ τὴν τῆς Θεομήτορος λέγοντες·

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή,* συμπαθείας ἀξίωσον ἡμᾶς, Θεοτόκε·* βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα·* δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου·*εἰς σὲ γὰρ ἐλπίζοντες,* τὸ χαῖρε βοῶμέν σοι,* ὥς ποτε ὁ Γαβριήλ,* ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

Εἰς τὴν τοῦ Προδρόμου λέγουσι·

Μνήμη δικαίου μετ' ἐγκωμίων·* σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου, Πρόδρομε·* ἀνεδείχθης γὰρ ὄντως καὶ προφητῶν σεβασμιώτερος,* ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον·* ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας,* χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ,* Θεὸν φανερωθέντα ἐν σαρκί,* τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου,* καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Ἀσπαζόμενοι δὲ τὴν εἰκόνα τοῦ ἁγίου τοῦ ναοῦ λέγουσι τὸ ἀπολυτίκιον αὐτοῦ.

Καί, μετὰ τὸ ἀσπασθῆναι τὰς εἰκόνας, κλίνουσι μικρὸν τὰς κεφαλὰς αὐτῶν ἔμπροσθεν τῆς ὡραίας πύλης, τοῦ Διακόνου λέγοντος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεὺς τὴν εὐχήν·

Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους κατοικητηρίου σου καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου, ἵνα ἀκατακρίτως παραστὰς τῷ φοβερῷ σου βήματι, τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω. Ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ποιεῖ μικρὰν ἀπόλυσιν.

Ὁ Διάκονος· *Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον* (γ΄)· *Δέσποτα, ἅγιε, εὐλόγησον.*

Ὁ Ἱερεύς·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ ἁγίου (τοῦ ναοῦ), τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Καί, ὑποκλίναντες μικρὸν τὴν κεφαλὴν αἰτούμενοι συγχώρησιν παρὰ τοῦ λαοῦ, εἰσέρχονται εἰς τὸ θυσιαστήριον, ὁ μὲν Ἱερεὺς διὰ τῆς βορείου πύλης, ὁ δὲ Διάκονος διὰ τῆς νοτίου, λέγοντες·

Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν τὸν ἅγιόν σου ἐν φόβῳ σου.

Εἰσελθόντες δὲ εἰς τὸ ἱερατεῖον ποιοῦσι προσκυνήματα γ´ ἔμπροσθεν τῆς ἁγίας Τραπέζης καὶ ἀσπάζονται τὸ ἅγιον Εὐαγγέλιον καὶ τὴν ἁγίαν Τράπεζαν.

Εἶτα λαμβάνουσιν ἕκαστος τὸ στιχάριον καὶ προσκυνοῦσι κατ᾽ ἀνατολὰς τρίς, λέγοντες·

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Καὶ ὁ Διάκονος προσέρχεται τῷ Ἱερεῖ λέγων·

Εὐλόγησον, δέσποτα, τὸ στιχάριον σὺν τῷ ὀραρίῳ.

Ὁ Ἱερεύς, εὐλογῶν ἤτοι σφραγίζων ταῦτα σταυροειδῶς, λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ δὲ Διάκονος ἀσπάζεται τὴν τοῦ Ἱερέως δεξιάν.

Εἶτα ὁ Ἱερεὺς ἐνδύεται οὕτω· λαβὼν τὸ στιχάριον ἐν τῇ ἀριστερᾷ χειρὶ καὶ εὐλογῶν αὐτὸ λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἐνδύεται αὐτὸ λέγων·

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ.

Εἶτα, εὐλογῶν ὁ Ἱερεὺς ἕνα ἕκαστον τῶν ἀμφίων αὐτοῦ, ἀσπάζεται τὸν ἐν αὐτοῖς σταυρὸν καὶ οὕτως ἐνδύεται ταῦτα λέγων·

Εἰς τὸ ἐπιτραχήλιον·

Εὐλογητὸς ὁ Θεός, ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ· ὡς μῦρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ.

Εἰς τὴν ζώνην·

Εὐλογητὸς ὁ Θεός, ὁ περιζωννύων με δύναμιν καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου.

Εἰς τὰ ἐπιμάνικα,
ἐν μὲν τῷ δεξιῷ·

Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς· καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.

Ἐν δὲ τῷ ἀριστερῷ·

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με, συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Εἰς τὸ ἐπιγονάτιον, εἴπερ ἔχει·

Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου· καὶ ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε, ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης· καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.

Εἰς τὸ φελώνιον·

Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

Μετὰ ταῦτα, ἀπελθόντες εἰς τὸν νιπτῆρα νίπτουσι τὰς χεῖρας, λέγοντες ἑκάτερος τὸν ψαλμόν·

Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου.

Καί, εἰ μὲν ἐστι Διάκονος, ἀπελθὼν ἐν τῇ προθέσει εὐτρεπίζει οὗτος τὰ ἱερά· εἰ δ᾽ οὔ, ποιεῖ τοῦτο ὁ Ἱερεὺς τὸν μὲν δίσκον τιθεὶς ἐν τῷ ἀριστερῷ μέρει, τὸ δὲ ποτήριον ἐν τῷ δεξιῷ καὶ τὰ ἄλλα σὺν αὐτοῖς.

Μετὰ ταῦτα προσκυνοῦσι τρὶς ἔμπροσθεν τῆς προθέσεως, λέγοντες ἑκάτερος·

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Καί, θέσας ὁ Ἱερεὺς τὴν ἁγίαν λόγχην ἐπὶ τῆς προσφορᾶς, ὑψοῖ ταῦτα μέχρι τοῦ μετώπου αὐτοῦ λέγων·

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου αἵματι· τῷ σταυρῷ προσηλωθείς, καὶ τῇ λόγχῃ κεντηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτὴρ ἡμῶν, δόξα σοι.

Ὁ Διάκονος· *Εὐλόγησον, δέσποτα.*

Ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαμβάνει, ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὴν προσφοράν, ἐν δὲ τῇ δεξιᾷ τὴν ἁγίαν λόγχην, μεθ' ἧς καὶ ποιεῖ τρισσῶς τύπον σταυροῦ ἐν τῇ προσφορᾷ λέγων καθ' ἑκάστην·

Εἰς ἀνάμνησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ (τρίς).

Καὶ εὐθὺς πήγνυσι τὴν λόγχην ἐν τῷ δεξιῷ μέρει τῆς σφραγῖδος, ἐν ᾧ ἐστι τό ΙΣ, καὶ λέγει ἀνατέμνων·

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη.

Ἐν τῷ ἀριστερῷ, ἐν ᾧ ἐστι τὸ ΧΡ·

Καὶ ὡς ἀμνὸς ἄμωμος, ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

Ἐν τῷ ἄνω μέρει τῆς σφραγῖδος·

Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη.

Ἐν τῷ κάτω·

Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;

Ὁ Διάκονος· *Ἔπαρον, δέσποτα.*

Καὶ ὁ Ἱερεύς, ἐμβαλὼν ὁριζοντίως τὴν ἁγίαν λόγχην ἐκ πλαγίου τοῦ τῆς δεξιᾶς χειρὸς αὐτοῦ μέρους τῆς προσφορᾶς, ὥστε ἀποκοπῆναι τὸν ἀμνὸν ἀπ' αὐτῆς, ἐπαίρει τοῦτον λέγων·

Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.

Καὶ τίθησιν αὐτὸν ὕπτιον, ἔχοντα τὴν σφραγῖδα κάτωθεν, ἐν τῷ ἁγίῳ δίσκῳ·

Ὁ Διάκονος· *Θῦσον, δέσποτα.*

Ὁ Ἱερεὺς θύει αὐτόν, χαράσσων σταυρὸν βαθέως μετὰ τῆς ἁγίας λόγχης, λέγων·

Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

Καὶ στρέφει τὸ ἕτερον μέρος ἐπάνω, ἤτοι τὸ ἔχον τὴν σφραγῖδα.

Ὁ Διάκονος· *Νῦξον, δέσποτα.*

Νύττων δὲ ὁ Ἱερεὺς μετὰ τῆς λόγχης ἐν τῷ δεξιῷ μέρει τοῦ ἄρτου, ἀμέσως ὑπὸ τὸ ὄνομα ΙΣ, ἐπιλέγει·

Εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε· καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ· καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε καὶ ἀληθινὴ ἐστιν ἡ μαρτυρία αὐτοῦ.

Ὁ δὲ Διάκονος ἐγχέει τῷ ἁγίῳ ποτηρίῳ ἐκ τοῦ νάματος ὁμοῦ καὶ τοῦ ὕδατος τὸ ἀρκοῦν, εἰπὼν πρότερον·

Εὐλόγησον, δέσποτα , τὴν ἁγίαν ἕνωσιν.

Καὶ εὐλογεῖ αὐτὰ ὁ Ἱερεύς, λέγων·

Εὐλογημένη ἡ ἕνωσις τῶν ἁγίων σου, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ καλύπτει τοῦτο πρὸς στιγμὴν δι' ἑνὸς καλύμματος.

Καὶ λαβὼν ὁ Ἱερεὺς ἐν ταῖς χερσὶ τὴν δευτέραν προσφορὰν λέγει·

Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἧς ταῖς πρεσβείαις πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον.



Καί, αἴρων τὴν μερίδα τῆς Θεοτόκου, τίθησιν αὐτὴν ἐν τῷ δεξιῷ μέρει τοῦ ἁγίου ἄρτου, πλησίον τῆς μέσης αὐτοῦ, λέγων·

Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

Εἶτα, λαβὼν τὴν ἰδίαν ἢ τρίτην προσφορὰν αἴρει ἐξ αὐτῆς ἐννέα μερίδας καὶ τίθησιν αὐτὰς ἐν τῷ ἀριστερῷ μέρει τοῦ ἁγίου ἄρτου, ἤγουν τῷ τῇ δεξιᾷ χειρὶ τοῦ Ἱερέως ὄντι, εἰς τρεῖς τάξεις ἀνὰ τρεῖς μερίδας.

Οὕτως, ἐξάγων πρώτην μερίδα τίθησιν αὐτὴν ἐν τῷ ἀριστερῷ μέρει τοῦ ἀμνοῦ, πλησίον τῆς μέσης αὐτοῦ, ποιῶν ἀρχὴν τῆς α´ τάξεως, καὶ λέγει·

Εἰς τιμὴν καὶ μνήμην τῶν παμμεγίστων Ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ καὶ πασῶν τῶν ἐπουρανίων δυνάμεων Ἀσωμάτων.

Καί, αἴρων δευτέραν μερίδα, τίθησιν αὐτὴν ὑποκάτω τῆς πρώτης εὐτάκτως, καὶ λέγει·

Τοῦ τιμίου, ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων προφητῶν, Μωσέως καὶ Ἀαρών, Ἠλιοῦ καὶ Ἐλισσαίου, Δαυῒδ καὶ Ἰεσσαί, τῶν ἁγίων τριῶν Παίδων καὶ Δανιὴλ τοῦ προφήτου καὶ πάντων τῶν ἁγίων προφητῶν.

Εἶτα, αἴρων τρίτην μερίδα τίθησιν αὐτὴν ὑποκάτω τῆς δευτέρας, τελειῶν τὴν α΄ τάξιν, καὶ λέγει·

Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων Πέτρου καὶ Παύλου καὶ πάντων τῶν ἁγίων ἀποστόλων.

Καί, αἴρων τετάρτην μερίδα τίθησιν αὐτὴν πλησίον τῆς πρώτης μερίδος, ποιῶν ἀρχὴν τῆς β΄ τάξεως, καὶ λέγει·

Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Νικολάου τοῦ ἐν Μύροις καὶ πάντων τῶν ἁγίων ἱεραρχῶν.

Εἶτα, αἴρων πέμπτην μερίδα, τίθησιν αὐτὴν ὑποκάτω τῆς τετάρτης μερίδος λέγων·

Τοῦ ἁγίου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, τῶν ἁγίων μεγάλων μαρτύρων Γεωργίου τοῦ τροπαιοφόρου, Δημητρίου τοῦ μυροβλύτου, Θεοδώρου τοῦ τήρωνος καὶ τοῦ στρατηλάτου καὶ πάντων καὶ πασῶν τῶν ἁγίων μαρτύρων.

Ἔπειτα αἴρει ἕκτην μερίδα καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς πέμπτης μερίδος, εἰς συμπλήρωσιν τῆς β´ τάξεως, λέγων·

Τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Ἀντωνίου, Εὐθυμίου, Σάββα, Ὀνουφρίου, Ἀθανασίου τοῦ ἐν Ἄθῳ καὶ πάντων καὶ πασῶν τῶν ὁσίων.

Μετὰ δὲ ταῦτα, αἴρων ἑβδόμην μερίδα τίθησιν αὐτὴν ἄνω, πλησίον τῆς τετάρτης μερίδος, ποιῶν ἀρχὴν τῆς γ´ τάξεως, καὶ λέγει·

Τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου καὶ πάντων τῶν ἁγίων ἀναργύρων.

Εἶτ' αὖθις αἴρει ὀγδόην μερίδα καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς ἑβδόμης μερίδος λέγων·

Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τοῦ ἁγίου τῆς ἡμέρας) καὶ πάντων τῶν Ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός.

Καὶ μετὰ ταῦτα αἴρει τὴν ἐνάτην μερίδα καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς ὀγδόης, εἰς ἀναπλήρωσιν τῆς γ´ τάξεως, λέγων·

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου.

Εἶτα, λαβὼν τὴν ἰδίαν ἢ ἑτέραν προσφορὰν καὶ αἴρων μερίδα, τίθησιν αὐτὴν ἐν τῷ κάτω μέρει τοῦ ἁγίου ἄρτου λέγων·

Μνήσθητι, Δέσποτα φιλάνθρωπε, πάσης Ἐπισκοπῆς Ὀρθοδόξων, τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ καὶ μοναχικοῦ τάγματος· (ἐν τοῖς μοναστηρίοις τοῦ Καθηγουμένου· τοῦ Πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος).

Εἶτα μνημονεύει τοῦ χειροτονήσαντος αὐτὸν Ἀρχιερέως, εἰ ἔστιν ἐν ζωῇ, καὶ ὧν ἔχει ζώντων κατ᾽ ὄνομα. Καθ᾽ ἕκαστον αἴρει μερίδα καὶ τίθησιν αὐτὴν ὑποκάτω τοῦ ἀμνοῦ λέγων· Μνήσθητι, Κύριε, (τοῦ δεῖνος).

Ἔπειτα λαβὼν τὴν ἰδίαν ἢ ἑτέραν προσφοράν, αἴρει μερίδα, λέγων·

Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν μακαρίων κτιτόρων τῆς ἁγίας μονῆς (ἢ ἐκκλησίας) ταύτης.

Εἶτα μνημονεύει τοῦ χειροτονήσαντος αὐτὸν Ἀρχιερέως, εἰ ἔστιν ἐν τοῖς τεθνεῶσι, καὶ ἑτέρων ὧν θέλει κεκοιμημένων κατ' ὄνομα, καθ' ἕκαστον αἴρων μερίδα καὶ λέγων· Μνήσθητι, Κύριε, (τοῦ δεῖνος). Καὶ τίθησι ταύτας ὡσαύτως ὑποκάτω τοῦ ἀμνοῦ. Καὶ ἑτέραν αἴρων μερίδα, τίθησι ταύτην ἐν τοῖς τεθνεῶσιν ἐπιλέγων οὕτω·

Καὶ πάντων τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κεκοιμημένων ὀρθοδόξων, πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε Κύριε.

Ὅτε δὲ ὁ Ἱερεὺς αἴρει τὰς μερίδας ὑπὲρ ζώντων καὶ τεθνεώτων, μνημονεύει καὶ ὁ Διάκονος ὧν βούλεται ὀνομάτων.

Τελευταῖον δὲ αἴρει ὁ Ἱερεὺς μερίδα ἐν τοῖς ζῶσι, λέγων·

Μνήσθητι, Κύριε, καὶ τῆς ἐμῆς ἀναξιότητος· καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Καὶ λαβὼν τὴν λόγχην συστέλλει τὰς ἐν τῷ δισκαρίῳ μερίδας ὑποκάτω τοῦ ἁγίου ἄρτου, ὥστε κεῖσθαι ἐν ἀσφαλείᾳ καὶ μὴ ἐκπεσεῖν τι.

Εἶτα ὁ Διάκονος, λαβὼν τὸ θυμιατήριον καὶ θυμίαμα βαλὼν ἐν αὐτῷ, λέγει πρὸς τὸν Ἱερέα·

Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα.

Καὶ ὁ Ἱερεύς, εὐλογῶν, λέγει τὴν εὐχὴν τοῦ θυμιάματος·

Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς· ὃ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος.

Ὁ Διάκονος· *Στερέωσον, δέσποτα.*

Καὶ λαβὼν τὸν ἀστερίσκον ὁ Ἱερεύς, θυμιῶντος τοῦ Διακόνου τοῦτον, τίθησιν ἐπάνω τοῦ ἄρτου λέγων·

Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.

Ὁ Διάκονος· *Εὐτρέπισον, δέσποτα.*

Καί, τοῦ Διακόνου θυμιῶντος τὸ πρῶτον κάλυμμα, ὁ Ἱερεὺς σκεπάζει τὸν ἅγιον ἄρτον ἄνωθεν τοῦ ἀστερίσκου σὺν τῷ δισκαρίῳ λέγων·

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ περιεζώσατο.

Ὁ Διάκονος· *Κάλυψον, δέσποτα.*

Καί, τοῦ Διακόνου θυμιῶντος τὸ δεύτερον κάλυμμα, ὁ Ἱερεὺς σκεπάζει τὸ ἅγιον ποτήριον λέγων·

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Χριστέ, καὶ τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ.

Ὁ Διάκονος· *Σκέπασον, δέσποτα.*

Καὶ τοῦ Διακόνου θυμιῶντος τὸ τρίτον κάλυμμα, ἤγουν τὸν ἀέρα, ὁ Ἱερεὺς σκεπάζει ἀμφότερα τὰ ἅγια λέγων·

Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν, Κύριε· ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὁ Διάκονος· *Εὐλόγησον, δέσποτα.*

Καὶ ὁ Ἱερεύς, λαβὼν τὸν θυμιατόν, θυμιᾷ τρὶς τὴν πρόθεσιν λέγων·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι (ἐκ τρίτου).

Ὁ Διάκονος ἐν ἑκάστῃ ἐπιλέγει·

Πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ προσκυνοῦσι εὐλαβῶς ἀμφότεροι ἐκ τρίτου. Ἔπειτα λαβὼν ὁ Διάκονος τὸν θυμιατὸν λέγει·

Ἐπὶ τῇ προθέσει τῶν τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ἐλέησον.

Καὶ ὁ Ἱερεύς, ὑψῶν μικρὸν τὰς χεῖρας, λέγει τὴν

εὐχὴν τῆς προθέσεως·

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας, σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς· αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον. Μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων καὶ δι' οὓς προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων.

Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τοῦτο ποιεῖ ἀπόλυσιν, λέγων·

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Διάκονος·

Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον (γ΄).

Δέσποτα ἅγιε, εὐλόγησον.

Ὁ Ἱερεύς·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὁ Διάκονος· Ἀμήν.

Μετὰ ταῦτα ὁ Διάκονος, εἰ ἔστι, εἰ δὲ μὴ ὁ Ἱερεὺς θυμιᾷ τὴν ἁγίαν Τράπεζαν κύκλῳ, λέγων καθ' ἑαυτὸν καὶ τὸν Ν´ ψαλμόν· Ἐλέησόν με, ὁ Θεός.

Ὁμοίως θυμιᾷ ὁ Ἱερεὺς τὸ ἱερατεῖον ὅλον καὶ τὸν λαὸν ἀπὸ τὴν ὡραίαν πύλην καὶ ἐπιστρέψας θυμιᾷ καὶ αὖθις τὴν ἁγίαν Τράπεζαν καὶ ἀποτίθησι τὸ θυμιατήριον.



Προκαταρκτικὰ τῆς θ. Λειτουργίας

Καί, ἐπιστάντος τοῦ καιροῦ ἐνάρξεως τῆς θ. Λειτουργίας, ἵστανται ὁμοῦ ὅ τε Ἱερεὺς καὶ ὁ Διάκονος πρὸ τῆς ἁγίας Τραπέζης καὶ λέγει ὁ Ἱερεὺς τό·

Βασιλεῦ οὐράνιε,* Παράκλητε,* τὸ Πνεῦμα τῆς ἀληθείας,* ὁ πανταχοῦ παρὼν* καὶ τὰ πάντα πληρῶν,* ὁ θησαυρὸς τῶν ἀγαθῶν* καὶ ζωῆς χορηγός,* ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν* καὶ καθάρισον ἡμᾶς* ἀπὸ πάσης κηλῖδος* καὶ σῶσον,* ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Εἶτα, προσκυνοῦντες ἀμφότεροι τρίς, λέγουσι·

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία (τρίς).

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου (δίς).

Ὁ δὲ Ἱερεὺς ὑψῶν μικρὸν τὰς χεῖρας λέγει·

Κύριε, Κύριε ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου.

Καὶ ὁ Διάκονος, ὑποκλίνας τὴν κεφαλὴν λέγει τῷ Ἱερεῖ·

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· δέσποτα ἅγιε, εὐλόγησον.

Ὁ δὲ Ἱερεύς, ἐπιθεὶς τὴν δεξιὰν χεῖρα ἐπὶ τῆς κεφαλῆς αὐτοῦ καὶ σφραγίζων αὐτόν, λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος· *Ἀμήν. Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα ἅγιε.*

Ὁ Ἱερεύς·

Κατευθύναι Κύριος τὰ διαβήματά σου εἰς πᾶν ἔργον ἀγαθόν.

Ὁ Διάκονος· *Μνήσθητί μου, δέσποτα ἅγιε.*

Ὁ Ἱερεύς·

Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος· *Ἀμήν.*

Εἶτα ἀσπάζονται ὁ μὲν Ἱερεὺς τὸ Εὐαγγέλιον, ὁ δὲ Διάκονος τὴν ἁγίαν Τράπεζαν καὶ τὴν τοῦ Ἱερέως χεῖρα· καὶ ἄρχεται ἡ θεία Λειτουργία οὕτως·





Η ΘΕΙΑ

ΛΕΙΤΟΥΡΓΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Ὁ Διάκονος· *Εὐλόγησον, δέσποτα.*

Ὁ Ἱερεὺς ποιῶν μετὰ τοῦ ἁγίου Εὐαγγελίου τύπον σταυροῦ ἐκφωνεῖ·

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος τὰ εἰρηνικά·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Μονῆς (ἢ τῆς πόλεως) ταύτης, πάσης μονῆς, πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Κατὰ τὰ εἰρηνικὰ ὁ Ἱερεὺς ἀναγινώσκει ἐνώπιον τῆς ἁγίας Τραπέζης τὴν

εὐχὴν τοῦ α΄ ἀντιφώνου·

Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτός, Δέσποτα, κατὰ τὴν εὐσπλαχνίαν σου, ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ' ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

Καὶ ἐκφωνεῖ·

Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ τὴν συμπλήρωσιν τοῦ α΄ ἀντιφώνου ἢ τῆς α΄ στάσεως τῶν τυπικῶν λέγει τὴν μικρὰν συναπτὴν ὁ Διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεὺς τὴν εὐχὴν τοῦ β΄ ἀντιφώνου·

Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Πληρωθέντος τοῦ τροπαρίου Ὁ μονογενὴς Υἱός, λέγει καὶ αὖθις ὁ Διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεὺς τὴν εὐχὴν τοῦ γ΄ ἀντιφώνου·

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δυσὶ καὶ τρισί, συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος, αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Ἐκφώνησις·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὅταν ψάλληται τὸ Δόξα τῶν Μακαρισμῶν ἢ τὸ γ´ ἀντίφωνον, ὁ Ἱερεὺς καὶ ὁ Διάκονος προσκυνοῦσι τρὶς πρὸ τῆς ἁγίας Τραπέζης. Εἶτα, λαβὼν ὁ Ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον δίδωσι τῷ Διακόνῳ εἰ ἔστι, εἰ δ᾽ οὔ, κρατεῖ τοῦτο οὗτος πρὸ προσώπου αὐτοῦ· καὶ διελθόντες οὕτω κύκλῳ τῆς ἁγίας Τραπέζης καὶ ἐξελθόντες διὰ τῆς βορείου πύλης ποιοῦσι τὴν μικρὰν εἴσοδον. Ἐλθόντες δὲ καὶ στάντες ἐν τῷ συνήθει τόπῳ, κλίνουσιν ἀμφότεροι ἠρέμα τὰς κεφαλάς, καὶ λέγει πραείᾳ τῇ φωνῇ ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεὺς λέγει τὴν εὐχὴν τῆς εἰσόδου·

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος· *Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον.*

Ὁ Ἱερεὺς εὐλογῶν, ποιῶν διὰ τῆς δεξιᾶς κατὰ ἀνατολὰς σταυρόν, λέγει·

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ὁ Διάκονος προσφέρει τῷ Ἱερεῖ τὸ Εὐαγγέλιον, ἵνα ἀσπασθῇ τοῦτο, καὶ ἀσπάζεται οὗτος τὴν δεξιὰν αὐτοῦ. Εἶτα, μὴ ὄντος Διακόνου, ὁ Ἱερεύς, τοῦ τελευταίου τροπαρίου πληρωθέντος, ὑψοῖ μικρὸν τὰς χεῖρας μετὰ τοῦ ἁγίου Εὐαγγελίου, ἴσον τοῦ μετώπου αὐτοῦ, καὶ ποιῶν δι᾽ αὐτοῦ τύπον σταυροῦ ἐκφωνεῖ·

Σοφία· ὀρθοί.

Καὶ ποιήσας σχῆμα, ἤτοι ὑποκλίνας μικρὸν τὴν κεφαλὴν ὁ Ἱερεὺς ἔνθεν καὶ ἔνθεν εἰς τοὺς χορούς, εἰσέρχεται ὄπισθεν τοῦ Διακόνου ἐν τῷ ἁγίῳ βήματι· ὁ δὲ Διάκονος ἀποτίθησι τὸ ἅγιον Εὐαγγέλιον ἐν τῇ ἁγίᾳ Τραπέζῃ.

Εἶτα, ψαλλομένων τῶν ἀπολυτικίων καὶ τοῦ κοντακίου, εὔχεται ὁ Ἱερεὺς τὴν

εὐχὴν τοῦ τρισαγίου ὕμνου·

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος καὶ ὑπὸ τῶν Χερουβὶμ δοξολογούμενος καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ᾽ εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ παντί σου χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δού-

λους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτός, Δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων.

Πληρωθέντων δὲ τῶν τροπαρίων λέγει ἐκφώνως ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Καί, εἰπόντος τοῦ χοροῦ τὸ Κύριε, ἐλέησον, ἐκφωνεῖ ὁ Ἱερεύς·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί.

Ὁ Διάκονος·

Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Οἱ χοροὶ ψάλλουσι τὸ Ἅγιος ὁ Θεός· τὸ αὐτὸ λέγουσιν ἐναλλὰξ ὅ τε Ἱερεὺς καὶ ὁ Διάκονος, ποιοῦντες ὁμοῦ τρία προσκυνήματα. Μετὰ δὲ τὸ Δόξα, καὶ νῦν τοῦ Τρισαγίου, ψαλλομένου ὑπὸ τῶν χορῶν, ἐκφωνεῖ ὁ Διάκονος·

Δύναμις.

Καὶ εὐθὺς λέγει πρὸς τὸν Ἱερέα ὁ Διάκονος·

Κέλευσον, δέσποτα.

Καὶ ἀπέρχονται ἐν τῇ καθέδρᾳ. Ὁ δὲ Ἱερεὺς ἀπερχόμενος λέγει·

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ὁ Διάκονος· *Εὐλόγησον, δέσποτα, τὴν ἄνω καθέδραν.*

Ὁ Ἱερεὺς εὐλογεῖ κατὰ ἀνατολὰς λέγων·

Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὴν συμπλήρωσιν τοῦ Τρισαγίου, ὁ Διάκονος ἤ, μὴ ὄντος αὐτοῦ, ὁ Ἱερεὺς βλέπων πρὸς τὸν λαόν, εἰπόντος τοῦ ἀναγνώστου τὸ Προκείμενον τοῦ Ἀποστόλου, λέγει·

Πρόσχωμεν.

Ὁ ἀναγνώστης ἐκφωνεῖ τὸν στίχον τοῦ προκειμένου.

Ὁ Διάκονος· Σοφία.

Ὁ ἀναγνώστης τὴν ἐπιγραφὴν τοῦ ἀναγνώσματος.

Ὁ Διάκονος· Πρόσχωμεν.

Καί, τοῦ Ἀποστόλου πληρωθέντος, λέγει ὁ Ἱερεὺς εὐλογῶν τὸν ἀναγνώστην·

Εἰρήνη σοι.

Εἶτα, ψαλλομένου τοῦ ἀλληλουαρίου ἢ καὶ πρὸ τούτου, λεγομένου ἔτι τοῦ Ἀποστόλου, πρόσεισι τῷ Ἱερεῖ ὁ Διάκονος λέγων· Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα. Καὶ ὁ Ἱερεὺς εὐλογεῖ ὡς συνήθως λέγων τὸ Εὐλογητὸς ὁ Θεὸς ἡμῶν..., καὶ ὁ Διάκονος θυμιᾷ κατὰ τὴν τάξιν. Ὁ δὲ Ἱερεὺς εὔχεται τὴν

εὐχὴν τοῦ Εὐαγγελίου.

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σήν, καὶ φρονοῦντες, καὶ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὑποκλίνας τὴν κεφαλὴν τῷ Ἱερεῖ λέγει ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα, τὸν εὐαγγελιστὴν τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ (δεῖνος).

Ὁ Ἱερεὺς σφραγίζων αὐτὸν λέγει·

Ὁ Θεός, διὰ πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ (δεῖνος), δῴη σοι ῥῆμα τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ, εἰς ἐκπλήρωσιν τοῦ Εὐαγγελίου τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ.

Καὶ ἐπιδίδωσι τῷ Διακόνῳ τὸ ἅγιον Εὐαγγέλιον, λέγοντος τὸ Ἀμὴν καὶ ἀσπαζομένου τὴν χεῖρα αὐτοῦ. Ὁ δὲ Ἱερεὺς ἢ ὁ β΄ Διάκονος, εἰ ἔστι, ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης καὶ πρὸς δυσμὰς βλέπων ἐκφωνεῖ·

Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Καὶ εὐλογῶν τὸν λαὸν λέγει·

Εἰρήνη πᾶσι.

Ὁ Διάκονος·

Ἐκ τοῦ κατὰ (δεῖνα) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ Ἱερεὺς ἢ ὁ β΄ Διάκονος·

Πρόσχωμεν.

Μὴ ὄντος Διακόνου τὸ Εὐαγγέλιον ἀναγινώσκει ὁ Ἱερεὺς ἱστάμενος ἐπὶ τῆς ὡραίας πύλης.

Μετὰ τὴν ἀνάγνωσιν τοῦ Εὐαγγελίου ὁ Ἱερεὺς εὐλογῶν τὸν Διάκονον λέγει·

Εἰρήνη σοι.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Δεχόμενος δὲ τὸ ἅγιον Εὐαγγέλιον ἀσπάζεται αὐτὸ καί, χαράξας μετ' αὐτοῦ τύπον σταυροῦ πρὸς τὸν λαόν, ἐπιτίθησιν αὐτὸ ἐπὶ τῆς ἁγίας Τραπέζης.

Εἶτα λέγει ὁ Διάκονος τὴν μεγάλην ἐκτενῆ·

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας Ἐκκλησίας ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ, ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν ταῖς διακονίαις ὄντων καὶ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ Μονῇ ταύτῃ.

Τούτων δὲ λεγομένων λέγει ὁ Ἱερεὺς τὴν εὐχὴν τῆς ἐκτενοῦς ἱκεσίας·

Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ἐκφώνησις·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος·

Εὔξασθε, οἱ κατηχούμενοι, τῷ Κυρίῳ.

Οἱ πιστοί, ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν.

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.

Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας.

Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης.

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Τούτων λεγομένων ὁ Ἱερεύς, λαβὼν τὸ ἅγιον Εὐαγγέλιον καὶ ποιήσας μετ᾽ αὐτοῦ τύπον σταυροῦ ἐπὶ τοῦ ἀντιμηνσίου, τίθησι τοῦτο ἐν τῷ ἄνω μέρει τῆς ἁγίας Τραπέζης καὶ λέγει τήν, πρὸ τοῦ ἁπλωθῆναι τὸ εἰλητόν,

εὐχὴν ὑπὲρ τῶν κατηχουμένων·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ διὰ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν καὶ Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα· καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ· καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Ἐκφώνησις·

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἐξαπλοῖ ὁ Ἱερεὺς τὸ εἱλητόν.

Ὁ Διάκονος·

Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι, προέλθετε.

Ὅσοι κατηχούμενοι, προέλθετε· μή τις τῶν κατηχουμένων.

Ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Σοφία.

Ὁ δὲ Ἱερεὺς λέγει τήν, μετὰ τὸ ἁπλωθῆναι τὸ εἱλητόν, α΄ εὐχὴν τῶν πιστῶν·

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Πρόσδεξαι, ὁ Θεός, τὴν δέησιν ἡμῶν· ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου· καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπτως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ, ἵνα, εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

Ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Σοφία.

Ὁ δὲ Ἱερεὺς λέγει τὴν
β΄ εὐχὴν τῶν πιστῶν·

Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως, ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος καὶ δῴης ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. Χάρισαι δέ, ὁ Θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου καὶ πίστεως καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς πάντοτε, μετὰ φόβου καὶ ἀγάπης λατρεύουσί σοι, ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

Ἐκφώνησις·

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα, τοῦ χερουβικοῦ ᾀδομένου, ὁ Ἱερεὺς κλινόμενος μεγάλως τὴν κεφαλὴν ποιεῖ εὐχὴν ὑπὲρ ἑαυτοῦ λέγων τὴν

εὐχὴν τοῦ χερουβικοῦ·

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι, βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνάμεσιν. Ἀλλ' ὅμως, διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων.

Σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· ἐπίβλεψον ἐπ'

ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου σῶμα καὶ τὸ τίμιον αἷμα.

Σοὶ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πληρωθείσης τῆς εὐχῆς λέγουσι καὶ αὐτοὶ τὸν χερουβικὸν ὕμνον.

Ὁ Ἱερεύς· Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες* καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες,* πᾶσαν νῦν βιοτικὴν ἀποθώμεθα μέριμναν.

Ὁ Διάκονος· Ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξόμενοι,* ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν.* Ἀλληλούϊα.

Εἶτα εὐλογήσας ὡς συνήθως τὸ θυμίαμα, ὁ Ἱερεὺς (ἢ ὁ Διάκονος κατὰ τὴν παλαιοτέραν τάξιν) θυμιᾷ τὴν ἁγίαν Τράπεζαν κύκλῳ σταυροειδῶς λέγων, εἰ μέν ἐστι Κυριακὴ τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι καὶ τὸν Ν΄ ψαλμόν, εἰ δὲ οὐκ ἔστι λέγει τὸ Δεῦτε προσκυνήσωμεν ἐκ τρίτου καὶ τὸν Ν΄ ψαλμὸν ἄχρι τοῦ στίχου Ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Καί, θυμιάσας κατὰ τὴν τάξιν τὸ ἱερατεῖον, προέρχεται μικρὸν τῶν βημοθύρων καὶ θυμιᾷ τὸν Προεστῶτα, τὰς εἰκόνας, τὸν λαὸν καὶ τὸν κατέναντι αὐτοῦ ἱστάμενον Διάκονον· εἶτα θυμιάσας καὶ αὖθις τὸν Προεστῶτα καὶ τὰς δεσποτικὰς εἰκόνας εἰσέρχεται ἐν τῷ Βήματι, προεισελθόντος τοῦ Διακόνου. Προσκυνήσαντες δὲ πρῶτον δὶς ὁμοῦ ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, ἀσπάζονται τὸ ἐν αὐτῇ ἀντιμήνσιον καὶ εἶτα προσκυνοῦσιν ἅπαξ, ὑποκλίνονται πρὸς τὸν λαόν, αἰτοῦντες συγχώρησιν, καὶ ἀπέρχονται ἐν τῇ προθέσει εὐχόμενοι καθ' ἑαυτοὺς καὶ λέγοντες τό· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Μετὰ τοῦτο λέγει πρὸς τὸν Ἱερέα

ὁ Διάκονος· *Ἔπαρον, δέσποτα.*

Ὁ δὲ Ἱερεὺς ἄρας τὸν ἀέρα ἐπιτίθησι τοῖς ὤμοις τοῦ Διακόνου, λέγων·

Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια καὶ εὐλογεῖτε τὸν Κύριον.

Εἶτα τὸν ἅγιον δίσκον λαβὼν ἐπιβάλλει τῇ τοῦ Διακόνου κεφαλῇ, οὗτος δὲ λαμβάνει τὸ ἅγιον ποτήριον ἀνὰ χεῖρας. Μὴ ὄντος Διακόνου, ὁ Ἱερεὺς τίθησιν ἐπὶ τῶν ἑαυτοῦ ὤμων τὸν ἀέρα καὶ λαμβάνει τὸ μὲν ἅγιον ποτήριον ἐν τῇ δεξιᾷ χειρί, τὸν δὲ ἅγιον δίσκον ἐν τῇ ἀριστερᾷ. Οὕτως ἐξέρχεται, προπορευομένου τοῦ Διακόνου καὶ ποιοῦσι τὴν μεγάλην εἴσοδον, προπορευομένων λαμπάδων, τοῦ Διακόνου λέγοντος μεγάλῃ τῇ φωνῇ·

Πάντων ὑμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καί, τοῦ Ἱερέως εἰσερχομένου, λέγει πρὸς αὐτὸν ὁ προεισελθὼν Διάκονος·

Τῆς Ἱερωσύνης σου μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ Ἱερεὺς πρὸς αὐτόν·

Τῆς Ἱεροδιακονίας σου μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἀποτίθησι ὁ Ἱερεὺς τὸ ἅγιον ποτήριον ἐν τῇ ἁγίᾳ Τραπέζῃ· εἶτα αἴρει τὸν ἅγιον δίσκον ἀπὸ τῆς τοῦ Διακόνου κεφαλῆς καὶ τίθησιν αὐτὸν ἐξ ἀριστερῶν τοῦ ἁγίου ποτηρίου. Εἶτα αἴρει τὰ καλύμματα ἀπό τε τοῦ ἁγίου δίσκου καὶ τοῦ ποτηρίου καὶ τίθησιν αὐτὰ ἐν τῷ ἄνω ἀριστερῷ μέρει τῆς ἁγίας Τραπέζης· καὶ λαβὼν τὸν ἀέρα ἀπὸ τῶν τοῦ Διακόνου ὤμων καὶ θυμιάσας αὐτόν, σκεπάζει τὰ ἅγια. Μετὰ τοῦτο, λαβὼν τὸν θυμιατὸν καὶ τοῦ Διακόνου εἰπόντος τὸ

Ἀγάθυνον, δέσποτα.

Ὁ Ἱερεύς, θυμιῶν τρὶς τὰ ἅγια, λέγει ἅπαξ·

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Καί, ἀποδοὺς τὸν θυμιατὸν καὶ χαλάσας τὸ φελώνιον, ὑποκλίνας τε μικρὸν τὴν κεφαλήν, λέγει πρὸς τὸν Διάκονον·

Μνήσθητί μου, ἀδελφὲ καὶ συλλειτουργέ.

Καὶ ὁ Διάκονος·

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα ὁ Διάκονος ὑποκλίνας τὴν κεφαλὴν λέγει πρὸς τὸν Ἱερέα·

Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα ἅγιε.

Ὁ Ἱερεὺς εὐλογῶν τὸν Διάκονον·

Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

Ὁ Διάκονος·

Αὐτὸ τὸ Πνεῦμα συλλειτουργήσει ἡμῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Μνήσθητί μου, δέσποτα ἅγιε.

Ὁ Ἱερεύς·

Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καί, ἐπειπὼν τὸ Ἀμὴν ὁ Διάκονος καὶ ἀσπασάμενος τὴν τοῦ Ἱερέως δεξιάν, λέγει τὰ πληρωτικά·

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ. Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ δὲ Ἱερεὺς λέγει τήν, μετὰ τὸ ἀποτεθῆναι τὰ ἅγια δῶρα ἐν τῇ ἁγίᾳ Τραπέζῃ,

εὐχὴν τῆς προσκομιδῆς·

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου.

Ἐκφώνησις·

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Ἱερεὺς εὐλογῶν τὸν λαὸν λέγει·

Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

Ὁ χορός· Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα...

Ὁ Ἱερεὺς προσκυνήσας τρὶς ἀσπάζεται τὰ κεκαλυμμένα ἅγια, πρῶτον τὸν ἅγιον δίσκον, εἶτα τὸ ἅγιον ποτήριον καὶ τὸ ἔμπροσθεν αὐτοῦ ἄκρον τῆς ἁγίας Τραπέζης λέγων καθ' ἑαυτὸν τό·

Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου· Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου.

Καί, ἐν συλλειτούργῳ, διδόασιν οἱ Ἱερεῖς τὸν ἀσπασμὸν τῆς εἰρήνης, ἀσπαζόμενοι ἀλλήλους, ἀρχόμενοι ἐξ ἀριστερῶν πρὸς τὰ δεξιά, καὶ τέλος τὴν τοῦ ἑτέρου δεξιὰν χεῖρα, λέγοντες διαλογικῶς ὁ εἷς· Ὁ Χριστὸς ἐν τῷ μέσῳ ἡμῶν· καὶ ὁ ἕτερος· Καὶ ἔστι καὶ ἔσται.

Ὁ Διάκονος·

Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

Ὁ Ἱερεύς, ἄρας καὶ κατὰ μικρὸν ὑψῶν τὸν ἀέρα, ἀνασείει αὐτὸν ἀνοικτὸν ἠρέμως ἐπάνω τῶν τιμίων δώρων· εἶτα, διπλώσας καὶ ἀσπασάμενος, ἀποτίθησι μετὰ τῶν ἑτέρων καλυμμάτων.

Ὁ λαός· Πιστεύω εἰς ἕνα Θεόν.

Ὁ Διάκονος·

Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου· πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

Ὁ χορός· Ἔλεον εἰρήνης...

Ὁ Ἱερεὺς ῥιπίζει τὰ ἅγια μετὰ ῥιπιδίου, ἤ, μὴ ὄντος, μετὰ τοῦ ἀέρος καὶ εἶτα ἐκφωνεῖ·

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν.

Ὁ χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Στραφεὶς ὁ Ἱερεὺς πρὸς τὸν λαὸν εὐλογεῖ αὐτὸν καὶ ὑψῶν ἀμφοτέρας τὰς χεῖρας λέγει·

Ἄνω σχῶμεν τὰς καρδίας.

Ὁ χορός· Ἔχομεν πρὸς τὸν Κύριον.

Καὶ στραφεὶς πρὸς ἀνατολὰς λέγει·

Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ χορός· Ἄξιον καὶ δίκαιον.

Ὁ Ἱερεὺς κλινόμενος ἀπάρχεται τῆς ἁγίας ἀναφορᾶς·

Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν· σὺ καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν.

Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμεν σοί, καὶ τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ· ὑπὲρ πάντων, ὧν ἴσμεν καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν, τῶν εἰς ἡμᾶς γεγενημένων.

Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας, καίτοι σοι παρεστήκασι χιλιάδες ἀρχαγγέλων καὶ μυριάδες ἀγγέλων, τὰ Χερουβὶμ καὶ τὰ Σεραφίμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά,

Ἐκφώνως·

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα·

Τούτου λεγομένου, λαβὼν ὁ Διάκονος τὸν ἀστερίσκον ἐκ τοῦ ἁγίου δίσκου, ποιεῖ σταυροῦ τύπον ἐπάνω αὐτοῦ καί, ἀποσπογγίσας καὶ ἀσπασάμενος αὐτόν, ἀποτίθησι μετὰ τοῦ ἀέρος.

Ὁ χορός· Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ...

Ὁ δὲ Ἱερεὺς κλινόμενος ἐπεύχεται·

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ καὶ πανάγιος, σὺ καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Ἅγιος εἶ καὶ πανάγιος καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν Υἱόν σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. Ὃς ἐλθὼν καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσίν, εὐχαριστήσας καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών·

Ὁ Ἱερεὺς δεικνύων τὸν ἅγιον ἄρτον μετὰ τῆς δεξιᾶς χειρὸς λέγει ἐκφώνως·

Λάβετε, φάγετε, τοῦτό μού ἐστι τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ χορός· Ἀμήν.

Εἶτα ἐπευχόμενος λέγει ὁ Ἱερεύς·

Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων·

Καὶ αὖθις δεικνύων τὸ ἅγιον ποτήριον ὁ Ἱερεὺς λέγει ἐκφώνως·

Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ χορός· Ἀμήν.

Ὁ Ἱερεὺς καὶ πάλιν κλινόμενος λέγει τὴν εὐχήν·

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας,

Ἐκφώνως·

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν, κατὰ πάντα καὶ διὰ πάντα.

Τούτου λεγομένου ὁ Διάκονος, εἰ πάρεστι, ὑψοῖ τὰ ἅγια διασταυρῶν τὰς χεῖρας καὶ λαμβάνων διὰ τῆς δεξιᾶς χειρὸς τὸ δισκάριον καὶ διὰ τῆς ἀριστερᾶς τὸ ποτήριον. Εἰ δὲ μή, ὑψοῖ αὐτὰ ὁ Ἱερεύς.

Ὁ χορός· Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν...

Ὁ δὲ Ἱερεὺς κλινόμενος ἐπεύχεται·

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν· κατάπεμψον τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

Ὁ Διάκονος· *Εὐλόγησον, δέσποτα, τὸν ἅγιον ἄρτον.*

Καὶ ὁ Ἱερεὺς ἐπάνω τοῦ ἁγίου ἄρτου εὐλογῶν λέγει·

Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος· Ἀμήν.

Εὐλόγησον, δέσποτα, τὸ ἅγιον ποτήριον.

Ὁ Ἱερεύς, εὐλογῶν ἐπάνω τοῦ ἁγίου ποτηρίου, λέγει·

Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον αἷμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος· Ἀμήν.

Εὐλόγησον, δέσποτα, ἀμφότερα τὰ ἅγια.

Ὁ δὲ Ἱερεύς, εὐλογῶν ἅμα τόν τε ἅγιον ἄρτον καὶ τὸ ἅγιον ποτήριον, λέγει·

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ.

Ὁ Διάκονος· Ἀμήν, ἀμήν, ἀμήν.

Ὁ Ἱερεὺς κλινόμενος ἐπεύχεται·

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου σου Πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

Καὶ θυμιῶν τρὶς κατέμπροσθεν τῆς ἁγίας Τραπέζης λέγει ἐκφώνως·

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ὁ χορός· Ἄξιόν ἐστιν ὡς ἀληθῶς...

Εἶτα ἐπιδίδωσι τὸ θυμιατήριον τῷ Διακόνῳ καὶ κλινόμενος εὔχεται·

Τοῦ ἁγίου Ἰωάννου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ ἁγίου (δεῖνος), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός.

Καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου· (ἐνταῦθα μνημονεύει ὀνομαστὶ ὧν βούλεται τεθνεώτων) καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

Ἔτι παρακαλοῦμέν σε· μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ καὶ μοναχικοῦ τάγματος.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας· ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων, ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Ἐκφώνως·

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Ὁ Διάκονος·

Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται κλινόμενος·

Μνήσθητι, Κύριε, τῆς μονῆς (ἢ πόλεως) ταύτης, ἐν ᾗ παροικοῦμεν, καὶ πάσης μονῆς, πόλεως καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων· καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

Ἐκφώνως·

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καί, εὐλογῶν τὸν λαόν, λέγει·

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

Ὁ χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ Διάκονος·

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεὺς κλινόμενος ἐπεύχεται·

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν· καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς τραπέζης, μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.

Ἐκφώνως·

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρρησίας ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα καὶ λέγειν·

Ὁ λαός· Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς...

Ὁ Ἱερεύς ·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Ἱερεὺς εὐλογῶν τὸν λαόν·

Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Ἱερεὺς κλινόμενος ἐπεύχεται·

Εὐχαριστοῦμέν σοι, βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς

τὸ εἶναι τὰ πάντα παραγαγών. Αὐτός, Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ Θεῷ. Σὺ οὖν, Δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον, κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσιν σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνόδευσον, τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Ἐκφώνως·

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεὺς ἐπεύχεται·

Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου καὶ τοῦ τιμίου αἵματος καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Εἶτα προσκυνεῖ τρὶς λέγων τὸ Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με, καὶ τὸ Ὑψώσω σε ὁ Θεός μου, ὁ βασιλεύς μου.

Ὁ Διάκονος· Πρόσχωμεν.

Ὁ Ἱερεύς, ἁψάμενος τοῦ ἁγίου ἄρτου ἄκροις δακτύλοις τῶν δύο χειρῶν, ὑψοῖ αὐτόν, ποιῶν σταυροῦ τύπον ἄνωθεν τοῦ ἁγίου δίσκου, ἐκφωνῶν·

Τὰ ἅγια τοῖς ἁγίοις.

Ὁ χορός· Εἷς ἅγιος, εἷς Κύριος... καὶ εἶτα τὸ κοινωνικόν.

Ὁ Διάκονος· *Μέλισον, δέσποτα, τὸν ἅγιον ἄρτον.*

Ὁ δὲ Ἱερεὺς μελίζει αὐτὸν εἰς τέσσαρας μερίδας λέγων·

Μελίζεται καὶ διαμερίζεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζων.

Καὶ τίθησιν αὐτὰς ἐν τῷ ἁγίῳ δίσκῳ σταυροειδῶς οὕτως·

ΙΣ

ΝΙ ΚΑ

ΧΡ

Ὁ Διάκονος· *Πλήρωσον, δέσποτα, τὸ ἅγιον ποτήριον.*

Ὁ δὲ Ἱερεύς, λαβὼν τὴν ἄνω κειμένην μερίδα τοῦ ἀμνοῦ (ΙΣ), ποιεῖ σταυρὸν μετ' αὐτῆς ἐπάνω τοῦ ἁγίου ποτηρίου καί, ἐμβάλλων ταύτην ἐν αὐτῷ, λέγει·

Πλήρωμα Πνεύματος ἁγίου.

Ὁ Διάκονος· *Ἀμήν.*

Καὶ λαβὼν τὸ ζέον λέγει πρὸς τὸν Ἱερέα ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα, τὸ ζέον.

Ὁ δὲ Ἱερεὺς εὐλογῶν λέγει·

Εὐλογημένη ἡ ζέσις τῶν ἁγίων σου, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δὲ Διάκονος, κρατῶν τῇ ἀριστερᾷ χειρὶ προσεκτικῶς τὸ ἅγιον ποτήριον, ἐγχέει τοῦ ζέοντος τὸ ἀρκοῦν σταυροειδῶς, λέγων·

Ζέσις Πνεύματος ἁγίου· ἀμήν.

Ὁ Ἱερεύς, κλίνας τὴν κεφαλήν, προσεύχεται μυστικῶς μετὰ δέους καὶ εὐλαβείας· καὶ προσερχόμενος λέγει·

Ἰδοὺ προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Ποιήσας πρῶτον μετάνοιαν καὶ εἶτα σχῆμα πρὸς τὸν Διάκονον καὶ συγχώρησιν αἰτήσας, λαμβάνει τὴν κάτω κειμένην μερίδα τοῦ ἁγίου ἄρτου (ΧΣ) καί, διελὼν αὐτὴν εἰς δύο μέρη, κρατεῖ ἐντὸς τῆς παλάμης τῆς δεξιᾶς χειρὸς τὸ ἓν μέρος λέγων·

Μεταδίδοταί μοι (δεῖνι) τῷ ἀναξίῳ πρεσβυτέρῳ τὸ τίμιον καὶ πανάγιον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ οὕτω μεταλαμβάνει τῆς ἐν χερσὶ μερίδος μετὰ πάσης ἀσφαλείας· καὶ ἀποσπογγίσας τὴν δεξιὰν παλάμην διὰ τῆς μούσης ἐπὶ τοῦ δισκαρίου λέγει ἡσύχως·

Ἱεροδιάκονε, πρόσελθε.

Ὁ Διάκονος· *Ἰδοὺ προσέρχομαι. Μετάδος μοι, δέσποτα.*

Καί, προσελθόντος τοῦ Διακόνου ἐκ δεξιῶν αὐτοῦ, μεταδίδει αὐτῷ ἐν τῇ παλάμῃ τὸ ἕτερον μέρος τῆς μερίδος τοῦ ἁγίου ἄρτου λέγων·

Μεταδίδοταί σοι (δεῖνι) τῷ εὐλαβεστάτῳ διακόνῳ τὸ τίμιον καὶ πανάγιον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Εἶτα, λαβὼν ὁ Ἱερεὺς διὰ τῆς ἀριστερᾶς χειρὸς τὸ ἄκρον τοῦ ἁγίου μανδηλίου, θέτει τοῦτο κάτωθεν τῶν χειλέων αὐτοῦ καὶ διὰ τῆς δεξιᾶς χειρὸς κρατεῖ τὸ ἅγιον ποτήριον λέγων·

Ἔτι μεταδίδοταί μοι (δεῖνι) τῷ ἀναξίῳ πρεσβυτέρῳ τὸ τίμιον καὶ πανάγιον καὶ ζωηρὸν αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ μεταλαμβάνει τρὶς ἐξ αὐτοῦ, ἀποσπογγίζων διὰ τοῦ ἐν χερσὶ καλύμματος τά τε ἴδια χείλη καὶ τὸ ἅγιον ποτήριον, ὅπερ καὶ ἀσπάζεται λέγων·

Τοῦτο ἥψατο τῶν χειλέων μου καὶ ἀφελεῖ τὰς ἀνομίας μου καὶ τὰς ἁμαρτίας μου περικαθαριεῖ.

Εἶτα προσκαλεῖ τὸν Διάκονον λέγων·

Ἱεροδιάκονε, ἔτι πρόσελθε.

Ὁ Διάκονος· *Ἰδοὺ προσέρχομαι. Μετάδος μοι δέσποτα.*

Καὶ ὁ Ἱερεύς, τοῦ Διακόνου προσελθόντος ἐξ ἀριστερῶν αὐτοῦ, μεταδίδει αὐτῷ τρίτον ἐκ τοῦ ἁγίου ποτηρίου· οὗτος δέ, κρατῶν τὸν αὐχένα τούτου διὰ τῆς δεξιᾶς αὐτοῦ χειρός, τοῦ Διακόνου μόνου ὠθοῦντος τρὶς τὴν βάσιν τοῦ ἁγίου ποτηρίου, λέγει·

Ἔτι μεταδίδοταί σοι (δεῖνι) τῷ εὐλαβεστάτῳ διακόνῳ τὸ τίμιον καὶ πανάγιον καὶ ζωηρὸν αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Μεταλαβόντος δὲ τοῦ Διακόνου λέγει ὁ Ἱερεύς·

Τοῦτο ἥψατο τῶν χειλέων σου καὶ ἀφελεῖ τὰς ἀνομίας σου καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ.

Εἶτα, τοῦ Ἱερέως διαμελίσαντος τὰς μερίδας τοῦ ἀμνοῦ, λαβὼν ὁ Διάκονος εἰς χεῖρας τόν τε ἅγιον δίσκον καὶ τὴν μοῦσαν εἰσκομίζει πρῶτον τὸ ἅγιον σῶμα καὶ εἶτα ἅπαντα ἐν τῷ ἁγίῳ ποτηρίῳ μετὰ προσοχῆς καὶ εὐλαβείας. Εἰ δὲ πολλοί εἰσιν οἱ βουλόμενοι κοινωνῆσαι, εἰσκομίζει μόνον τὸν ἅγιον ἄρτον εἰς τὸ ἅγιον ποτήριον. Καὶ οὕτω σκεπάζει τὸ ἅγιον ποτήριον τῷ καλύμματι, ἐπὶ δὲ τοῦ ἁγίου δίσκου τίθησι τὰ καλύμματα καὶ τὸν ἀστέρα. Εἶτα ἀνοίγουσι τὴν θύραν τοῦ ἁγίου βήματος.

Ὁ δὲ Ἱερεύς, τὴν ἁγίαν λαβίδα τῷ ἁγίῳ ἐμβαλὼν ποτηρίῳ, ἐπαίρει καὶ δίδει τοῦτο τῷ Διακόνῳ, ὅστις καὶ δείκνυσιν αὐτὸ τῷ λαῷ λέγων·

Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.

Καὶ εἰ μέν εἰσι πιστοὶ μεταλαβεῖν βουλόμενοι, αἴρει ἀπὸ τῶν τοῦ Διακόνου χειρῶν ὁ Ἱερεὺς τὸ ἅγιον ποτήριον καὶ μεταδίδωσιν αὐτοῖς λέγων τῷ ὀνόματι ἑνὶ ἑκάστῳ·

Σῶμα καὶ αἷμα Χριστοῦ.

Μετὰ δὲ τὸν τελευταίως μεταλαβόντα ἐπιλέγει καὶ τό·

Εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ μετὰ τὴν τῶν πιστῶν θείαν κοινωνίαν ὁ Ἱερεὺς εὐλογεῖ τὸν λαὸν ἐπιλέγων ἐκφώνως·

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Εἶτα εἰσελθόντες, ὁ μὲν Ἱερεὺς ἀποτίθησι τὸ ἅγιον ποτήριον ἐν τῇ ἁγίᾳ Τραπέζῃ καὶ εὐθέως λαμβάνει τὸν θυμιατόν, ὁ δὲ Διάκονος λέγει·

Ὕψωσον, δέσποτα.

Ὁ Ἱερεὺς θυμιᾷ τρὶς ἐπάνω τῶν ἁγίων δώρων λέγων ἠρέμα ἅπαξ·

Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Εἶτα τὸν μὲν θυμιατὸν ἐπιδίδωσι τῇ δεξιᾷ τοῦ Διακόνου, ἐπιτίθησι δὲ καὶ τὸν ἅγιον δίσκον μετὰ τῶν καλυμμάτων καὶ τοῦ ἀστερίσκου τῇ κεφαλῇ αὐτοῦ· μὴ ὄντος Διακόνου λαμβάνει τοῦτον καὶ τὸ ἅγιον ποτήριον ἐν ταῖς ἰδίαις χερσὶν ὁ Ἱερεὺς καὶ λέγει ἡσύχως πρὸ τῆς ἁγίας Τραπέζης·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν.

Καὶ ἐκφώνως πρὸς τὸν λαὸν στρεφόμενος·

Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἀποτίθησι τὰ ἅγια ἐν τῇ ἁγίᾳ προθέσει ψαλλομένου τοῦ Πληρωθήτω τὸ στόμα ἡμῶν. Εἶτα λέγει

Ὁ Διάκονος·

Ὀρθοί· μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ δὲ Ἱερεὺς διπλώσας τὸ εἰλητὸν ἐπεύχεται τὴν εὐχὴν μετὰ τὸ πάντας μεταλαβεῖν·

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων. Ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν· στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας· φρούρησον ἡμῶν τὴν ζωήν· ἀσφάλισαι ἡμῶν τὰ διαβήματα, εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν ἁγίων σου.

Ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ταύτης τῆς ἐκφωνήσεως λεγομένης, λαμβάνει ὁ Ἱερεὺς συγχρόνως τὸ ἅγιον Εὐαγγέλιον, ποιεῖ τὸ σημεῖον τοῦ σταυροῦ ἐπὶ τοῦ ἀντιμηνσίου καὶ ἀσπασάμενος ἐπιτίθησιν αὐτὸ ἐπ' αὐτοῦ. Στραφεὶς δὲ πρὸς τὸν λαὸν ἐκφωνεῖ·

Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ χορός· Ἐν ὀνόματι Κυρίου.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Καί, ἐξελθὼν τοῦ Βήματος ἐκ τῶν ἁγίων θυρῶν, ὁ Ἱερεὺς ἀναγινώσκει, ἔμπροσθεν τῆς τοῦ Χριστοῦ εἰκόνος, μεγαλοφώνως τὴν

ὀπισθάμβωνον εὐχήν·

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν. Εἴη τὸ ὄνομα Κυρίου.

Εἶτα, εἰσελθὼν διὰ τῆς ὡραίας πύλης, ἀπέρχεται ἐν τῇ ἁγίᾳ προθέσει καὶ εὔχεται τήν, ἐν τῷ συστεῖλαι τὰ ἅγια,

εὐχὴν ἐν τῷ σκευοφυλακίῳ·

Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν τὴν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ δὲ Ἱερεὺς ἐπὶ τῆς ὡραίας πύλης ἱστάμενος εὐλογεῖ τὸν λαὸν λέγων·

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ' ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Ἱερεύς·

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὁ χορός· Δόξα, καὶ νῦν, Κύριε ἐλέησον (γ')· Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ δὲ Ἱερεὺς ἐλθὼν ἐν τῷ μέσῳ τοῦ ναοῦ ποιεῖ τὴν μεγάλην ἀπόλυσιν· καὶ ἐν μὲν τῇ Κυριακῇ ἄρχεται λέγων **Ὁ ἀναστὰς ἐκ νεκρῶν** ἢ ἐν Δεσποτικῇ ἑορτῇ τὸ χαρακτηριστικὸν αὐτῆς, ἐν ἄλλῃ δὲ ἡμέρᾳ·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων, ἐπουρανίων δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶτα ὁ Ἱερεύς, εὐλογῶν τὸν λαόν, λέγει·

Ἡ ἁγία Τριὰς διαφυλάξοι πάντας ὑμᾶς.

Καὶ διανέμει ὁ Ἱερεὺς τῷ λαῷ τὸ ἀντίδωρον, λεγομένου τοῦ ψαλμοῦ Εὐλογήσω τὸν Κύριον, λέγων ἑνὶ ἑκάστῳ·

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ᾽ ὑμᾶς.

Περατώσας τὴν διανομὴν τοῦ ἀντιδώρου ἐπιλέγει·

Τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πληρωθέντος δὲ τοῦ ψαλμοῦ, στραφεὶς πρὸς ἀνατολάς, λέγει·

Δι᾿ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Καὶ εἰσελθὼν διὰ τῆς βορείου πύλης ἐν τῷ ἁγίῳ βήματι, εἰ οὐκ ἔστι Διάκονος, ἀπέρχεται ἐν τῇ ἁγίᾳ προθέσει καὶ συστέλλει τὰ ἅγια μετὰ φόβου καὶ πάσης ἀσφαλείας καὶ ἀπονίπτεται τὰς χεῖρας. Καὶ οὕτως ἀπεκδύεται τὴν ἱερατικὴν στολὴν αὐτοῦ καὶ προσκυνήσας ἀπέρχεται εὐχαριστῶν τῷ Θεῷ.



ΑΙ ΑΠΟΛΥΣΕΙΣ
ΤΩΝ ΔΕΣΠΟΤΙΚΩΝ ΕΟΡΤΩΝ

Εἰς τὴν τοῦ Χριστοῦ Γέννησιν·

Ὁ ἐν σπηλαίῳ γεννηθεὶς καὶ ἐν φάτνῃ ἀνακλιθεὶς διὰ τὴν ἡμῶν σωτηρίαν Χριστὸς ὁ ἀληθινός...

Εἰς τὴν Περιτομήν·

Ὁ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ σαρκὶ περιτμηθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν...

Τῶν ἁγίων Θεοφανείων·

Ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν...

Εἰς τὴν Ὑπαπαντήν·

Ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν...

Εἰς τὴν Μεταμόρφωσιν·

Ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθεὶς ἐν δόξῃ ἐνώπιον τῶν ἁγίων αὐτοῦ μαθητῶν καὶ Ἀποστόλων...

Τῇ Κυριακῇ τῶν Βαΐων·

Ὁ ἐπὶ πώλου ὄνου καθεσθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν...

Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας
καὶ μέχρι τοῦ Ἀποδείπνου τῆς Μ. Τετάρτης·

Ἐρχόμενος ὁ Κύριος ἐπὶ τὸ ἑκούσιον πάθος διὰ τὴν ἡμῶν σωτηρίαν...

Τῇ Μ. Πέμπτῃ·
(Ὄρθρος - Θ. Λειτουργία Μ. Βασιλείου - Ἑσπερινὸς Μ. Παρασκευῆς καὶ Ἀπόδειπνον)

Ὁ δι' ὑπερβάλλουσαν ἀγαθότητα ὁδὸν ἀρίστην τὴν ταπείνωσιν ὑποδείξας, ἐν τῷ νίψαι τοὺς πόδας τῶν μαθητῶν καὶ μέχρι σταυροῦ καὶ ταφῆς συγκαταβὰς ἡμῖν...

Εἰς τὴν ἀπόλυσιν τῶν ἁγίων Παθῶν·
(Ὄρθρος καὶ Ὧραι τῆς Μ. Παρασκευῆς)

Ὁ ἐμπτυσμοὺς καὶ μάστιγας καὶ κολαφισμοὺς καὶ σταυρὸν καὶ θάνατον ὑπομείνας διὰ τὴν τοῦ κόσμου σωτηρίαν...

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ - μεγάλῳ Σαββάτῳ·
(Ἑσπερινὸς Ἀποκαθηλώσεως, Ἀπόδειπνον Μ. Παρασκευῆς, Ὄρθρος καὶ Ὧραι Μ. Σαββάτου)

Ὁ δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν τὰ φρικτὰ πάθη καὶ τὸν ζωοποιὸν σταυρὸν καὶ τὴν ἑκούσιον ταφὴν σαρκὶ καταδεξάμενος...

Τῇ ἁγίᾳ Κυριακῇ τοῦ Πάσχα,
ὡς καὶ πάσαις ταῖς Κυριακαῖς τοῦ χρόνου·

Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

Τῇ Πέμπτῃ τῆς Ἀναλήψεως·

Ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τοὺς οὐρανοὺς καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός...

Τῇ Κυριακῇ τῆς Πεντηκοστῆς·

Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν οὐρανόθεν καταπέμψας τὸ πανάγιον Πνεῦμα ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ Ἀποστόλους Χριστός...

Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας·

Ὁ ἐκ τῶν πατρικῶν καὶ θεϊκῶν κόλπων κενώσας ἑαυτὸν καὶ ἐξ οὐρανοῦ ἐπὶ τῆς γῆς κατελθὼν καὶ τὴν ἡμετέραν ὅλην ἀναλαβόμενος φύσιν καὶ θεώσας αὐτήν· μετὰ δὲ ταῦτα εἰς οὐρανοὺς αὖθις ἀνελθὼν καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός, τό τε θεῖον καὶ ἅγιον καὶ ὁμοούσιον καὶ ὁμοδύναμον καὶ ὁμόδοξον καὶ συναΐδιον Πνεῦμα καταπέμψας ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ Ἀποστόλους, καὶ διὰ τούτου φωτίσας μὲν αὐτούς, δι' αὐτῶν δὲ πᾶσαν τὴν οἰκουμένην, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων, ἐνδόξων, πανευφήμων, θεοκηρύκων καὶ πνευματοφόρων Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

ΕΙΣΟΔΙΚΑ

ΨΑΛΛΟΜΕΝΑ ΕΝ ΤΑΙΣ ΔΕΣΠΟΤΙΚΑΙΣ ΕΟΡΤΑΙΣ

Εἰς τὴν Ὕψωσιν τοῦ τιμίου Σταυροῦ·

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ σταυρωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ·

Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε· ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται· Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὰ ἅγια Θεοφάνεια·

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὴν Ὑπαπαντήν·

Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ· ἐναντίον πάντων τῶν ἐθνῶν ἀπεκάλυψεν τὴν δικαιοσύνην αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου·

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι' ἡμᾶς σαρκωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὴν Κυριακὴν τῶν Βαΐων·

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐπὶ πώλου ὄνου καθεσθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὴν ἁγίαν καὶ μεγάλην Κυριακὴν τοῦ Πάσχα·

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὴν Πέμπτην τῆς Ἀναλήψεως·

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ᾽ ἡμῶν εἰς τοὺς οὐρανούς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὴν Κυριακὴν τῆς ἁγίας Πεντηκοστῆς·

Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου· ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὴν ἁγίαν Μεταμόρφωσιν·

Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

ΑΠΟΛΥΤΙΚΙΑ

ΑΝΑΣΤΑΣΙΜΑ

Ἦχος α´

Τοῦ λίθου σφραγισθέντος* ὑπὸ τῶν Ἰουδαίων* καὶ στρατιωτῶν φυλασσόντων* τὸ ἄχραντόν σου σῶμα,* ἀνέστης τριήμερος, Σωτήρ,* δωρούμενος τῷ κόσμῳ τὴν ζωήν·* διὰ τοῦτο αἱ δυνάμεις τῶν οὐρανῶν* ἐβόων σοι ζωοδότα·* Δόξα τῇ ἀναστάσει σου, Χριστέ,* δόξα τῇ βασιλείᾳ σου,* δόξα τῇ οἰκονομίᾳ σου,* μόνε φιλάνθρωπε.

Ἦχος β´

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον,* ἡ ζωὴ ἡ ἀθάνατος,* τότε τὸν ᾅδην ἐνέκρωσας* τῇ ἀστραπῇ τῆς θεότητος·* ὅτε δὲ καὶ τοὺς τεθνεῶτας* ἐκ τῶν καταχθονίων ἀνέστησας,* πᾶσαι αἱ δυνάμεις* τῶν ἐπουρανίων ἐκραύγαζον·* Ζωοδότα Χριστέ, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἦχος γ´

Εὐφραινέσθω τὰ οὐράνια,* ἀγαλλιάσθω τὰ ἐπίγεια,* ὅτι ἐποίησε κράτος* ἐν βραχίονι αὐτοῦ ὁ Κύριος·* ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον·* πρωτότοκος τῶν νεκρῶν ἐγένετο·* ἐκ κοιλίας ᾅδου ἐρρύσατο ἡμᾶς* καὶ παρέσχε τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Ἦχος δ΄

Τὸ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα* ἐκ τοῦ ἀγγέλου μαθοῦσαι* αἱ τοῦ Κυρίου μαθήτριαι* καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι,* τοῖς ἀποστόλοις καυχώμεναι ἔλεγον·*ἐσκύλευται ὁ θάνατος,* ἠγέρθη Χριστὸς ὁ Θεός,* δωρούμενος τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Ἦχος πλ. α΄

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι,* τὸν ἐκ Παρθένου τεχθέντα* εἰς σωτηρίαν ἡμῶν,* ἀνυμνήσωμεν, πιστοί,* καὶ προσκυνήσωμεν·* ὅτι ηὐδόκησε σαρκὶ* ἀνελθεῖν ἐν τῷ σταυρῷ* καὶ θάνατον ὑπομεῖναι* καὶ ἐγεῖραι τοὺς τεθνεῶτας* ἐν τῇ ἐνδόξῳ ἀναστάσει αὐτοῦ.

Ἦχος πλ. β΄

Ἀγγελικαὶ δυνάμεις ἐπὶ τὸ μνῆμά σου* καὶ οἱ φυλάσσοντες* ἀπενεκρώθησαν·* καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα* τὸ ἄχραντόν σου σῶμα.* Ἐσκύλευσας τὸν ᾅδην,* μὴ πειρασθεὶς ὑπ᾽ αὐτοῦ·* ὑπήντησας τῇ Παρθένῳ,* δωρούμενος τὴν ζωήν.* Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν,* Κύριε, δόξα σοι.

Ἦχος βαρὺς

Κατέλυσας τῷ σταυρῷ σου τὸν θάνατον·* ἠνέῳξας τῷ ληστῇ τὸν παράδεισον·* τῶν μυροφόρων τὸν θρῆνον μετέβαλες* καὶ τοῖς σοῖς ἀποστόλοις* κηρύττειν ἐπέταξας,* ὅτι ἀνέστης, Χριστὲ ὁ Θεός,* παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἦχος πλ. δ΄

Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος,* ταφὴν κατεδέξω τριήμερον,* ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν·* ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν,* Κύριε, δόξα σοι.

ΚΟΝΤΑΚΙΑ

ΤΩΝ ΔΕΣΠΟΤΙΚΩΝ ΚΑΙ ΘΕΟΜΗΤΟΡΙΚΩΝ

ΕΟΡΤΩΝ

Τοῦ Γενεθλίου τῆς Θεοτόκου.

Ἀπὸ 24ης Αὐγούστου ἕως 12ης Σεπτεμβρίου.

Ἦχος δ΄. Αὐτόμελον.

Ἰωακεὶμ καὶ Ἄννα* ὀνειδισμοῦ ἀτεκνίας,* καὶ Ἀδὰμ καὶ Εὔα* ἐκ τῆς φθορᾶς τοῦ θανάτου* ἠλευθερώθησαν, Ἄχραντε,* ἐν τῇ ἁγίᾳ γεννήσει σου·* αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου,* ἐνοχῆς τῶν πταισμάτων* λυτρωθεὶς ἐν τῷ κράζειν σοι·* Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον* καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Τῆς Ὑψώσεως τοῦ τιμίου Σταυροῦ.

Ἀπὸ 14ης ἕως 21ης Σεπτεμβρίου.

Ἦχος δ΄. Αὐτόμελον.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως,* τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ* τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός·* εὔφρανον ἐν τῇ δυνάμει σου* τοὺς πιστοὺς βασιλεῖς ἡμῶν,* νίκας χορηγῶν αὐτοῖς* κατὰ τῶν πολεμίων·* τὴν συμμαχίαν ἔχοιεν τὴν σὴν* ὅπλον εἰρήνης,* ἀήττητον τρόπαιον.

Τῆς Παναγίας.

Ἀπὸ τῆς ἑπομένης τῆς ἀποδόσεως τῆς ἑορτῆς τοῦ Σταυροῦ (22ᾳ Σεπτεμβρίου) ἕως 8ης Νοεμβρίου καὶ ἀπὸ τῆς Κυριακῆς τῶν ἁγίων Πάντων ἕως τῆς 26ης Ἰουλίου.

Ἦχος β΄

Προστασία* τῶν χριστιανῶν ἀκαταίσχυντε,* μεσιτεία* πρὸς τὸν ποιητὴν ἀμετάθετε,* μὴ παρίδῃς* ἁ-

μαρτωλῶν δεήσεων φωνάς,* ἀλλὰ πρόφθασον, ὡς ἀγαθή,* εἰς τὴν βοήθειαν ἡμῶν,* τῶν πιστῶς κραυγαζόντων σοι·* Τάχυνον εἰς πρεσβείαν,* καὶ σπεῦσον εἰς ἱκεσίαν,* ἡ προστατεύουσα ἀεί,* Θεοτόκε, τῶν τιμώντων σε.

Τῶν Εἰσοδίων τῆς Θεοτόκου.

Ἀπὸ 8ης ἕως 25ης Νοεμβρίου.

Ἦχος δ΄. Ὁ ὑψωθείς.

Ὁ καθαρώτατος ναὸς τοῦ Σωτῆρος,* ἡ πολυτίμητος παστὰς καὶ παρθένος,* τὸ ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ,* σήμερον εἰσάγεται* ἐν τῷ οἴκῳ Κυρίου,* τὴν χάριν συνεισάγουσα* τὴν ἐν Πνεύματι θείῳ·* ἣν ἀνυμνοῦσιν ἄγγελοι Θεοῦ.* Αὕτη ὑπάρχει,* σκηνὴ ἐπουράνιος.

Προεόρτιον τῶν Χριστουγέννων.

Ἀπὸ τῆς ἐπομένης τῆς ἀποδόσεως τῆς ἑορτῆς τῶν Εἰσοδίων (26η Νοεμβρίου) ἄχρι τῆς παραμονῆς τῶν Χριστουγέννων.

Ἦχος γ΄. Αὐτόμελον.

Ἡ Παρθένος σήμερον* τὸν προαιώνιον Λόγον* ἐν σπηλαίῳ ἔρχεται* ἀποτεκεῖν ἀπορρήτως.* Χόρευε,* ἡ οἰκουμένη ἀκουτισθεῖσα·* δόξασον,* μετὰ ἀγγέλων καὶ τῶν ποιμένων,* βουληθέντα ἐποφθῆναι* παιδίον νέον,* τὸν πρὸ αἰώνων Θεόν.

Τῆς Χριστοῦ Γεννήσεως.

Ἀπὸ 25ης ἕως 31ης Δεκεμβρίου.

Ἦχος γ΄. Αὐτόμελον.

Ἡ Παρθένος σήμερον* τὸν ὑπερούσιον τίκτει·* καὶ ἡ γῆ τὸ σπήλαιον* τῷ ἀπροσίτῳ προσάγει·* ἄγγελοι,* μετὰ ποιμένων δοξολογοῦσι·* μάγοι δὲ* μετὰ ἀστέρος ὁδοιποροῦσι·* δι᾽ ἡμᾶς γὰρ ἐγεννήθη* παιδίον νέον,* ὁ πρὸ αἰώνων Θεός.

Τῆς περιτομῆς τοῦ Χριστοῦ.

Τῇ 1η Ἰανουαρίου.

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ὁ τῶν ὅλων Κύριος* περιτομὴν ὑπομένει,* καὶ βροτῶν τὰ πταίσματα* ὡς ἀγαθὸς περιτέμνει,* δίδωσι* τὴν σωτηρίαν σήμερον κόσμῳ·* χαίρει δὲ* ἐν τοῖς ὑψίστοις* καὶ ὁ τοῦ κτίστου* ἱεράρχης καὶ φωσφόρος,* ὁ θεῖος μύστης* Χριστοῦ Βασίλειος.

Προεόρτιον τῶν Θεοφανείων.

Ἀπὸ 2ας ἕως 5ης Ἰανουαρίου.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐν τοῖς ῥείθροις σήμερον* τοῦ Ἰορδάνου* γεγονὼς ὁ Κύριος,* τῷ Ἰωάννῃ ἐκβοᾷ·* Μὴ δειλιάσῃς βαπτίσαι με·*σῶσαι γὰρ ἥκω* Ἀδὰμ τὸν πρωτόπλαστον.

Τῶν ἁγίων Θεοφανείων.

Ἀπὸ 6ης ἕως 14ης Ἰανουαρίου.

Ἦχος δ΄. Αὐτόμελον.

Ἐπεφάνης σήμερον* τῇ οἰκουμένῃ,* καὶ τὸ φῶς σου, Κύριε,* ἐσημειώθη ἐφ᾽ ἡμᾶς,* ἐν ἐπιγνώσει ὑμνοῦντάς σε·* Ἦλθες, ἐφάνης,* τὸ φῶς τὸ ἀπρόσιτον.

Τῆς Ὑπαπαντῆς τοῦ Χριστοῦ.

Ἀπὸ τῆς ἐπομένης τῆς ἀποδόσεως τῆς ἑορτῆς τῶν Θεοφανείων (15η Ἰανοαρίου) ἄχρι τῆς ἀποδόσεως τῆς ἑορτῆς τῆς Ὑπαπαντῆς.

Ἦχος α΄.

Ὁ μήτραν παρθενικὴν* ἁγιάσας τῷ τόκῳ σου,* καὶ χεῖρας τοῦ Συμεὼν* εὐλογήσας, ὡς ἔπρεπε,* προφθάσας

καὶ νῦν,* ἔσωσας ἡμᾶς, Χριστὲ ὁ Θεός.* Ἀλλ' εἰρήνευσον* ἐν πολέμοις τὸ πολίτευμα,* καὶ κραταίωσον* βασιλεῖς οὓς ἠγάπησας,* ὁ μόνος φιλάνθρωπος.

Τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου.

Ἀπὸ τὸ Σάββατον τῆς Α΄ μέχρι τῆς Ε΄ Κυριακῆς τῶν Νηστειῶν.

Ἦχος πλ. δ΄. Αὐτόμελον.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια,* ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια* ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε.* Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον,* ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον,* ἵνα κράζω σοι·* Χαῖρε, νύμφη ἀνύμφευτε.

Τῆς Κυριακῆς τῶν Βαΐων.

Ἦχος πλ. β΄. Αὐτόμελον.

Τῷ θρόνῳ ἐν οὐρανῷ,* τῷ πώλῳ ἐπὶ τῆς γῆς* ἐποχούμενος, Χριστὲ ὁ Θεός,* τῶν ἀγγέλων* τὴν αἴνεσιν* καὶ τῶν παίδων* τὴν ἀνύμνησιν* προσεδέξω βοώντων σοι·* Εὐλογημένος εἶ, ὁ ἐρχόμενος* τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

Τῆς ἁγίας καὶ μεγάλης Κυριακῆς τοῦ Πάσχα.

Ἀπὸ τῆς Κυριακῆς τοῦ Πάσχα ἄχρι τῆς ἀποδόσεως καὶ τῇ Κυριακῇ τοῦ Θωμᾶ, πλὴν Δευτέρας τοῦ Θωμᾶ ἕως Σαββάτου πρὸ τῶν Μυροφόρων καὶ τῆς περιόδου τῆς ἑορτῆς τῆς Μεσοπεντηκοστῆς.

Ἦχος πλ. δ΄. Αὐτόμελον.

Εἰ καὶ ἐν τάφῳ* κατῆλθες, ἀθάνατε,* ἀλλὰ τοῦ ᾍδου* καθεῖλες τὴν δύναμιν·* καὶ ἀνέστης ὡς νικητής,* Χριστὲ ὁ Θεός,* γυναιξὶ μυροφόροις,* φθεγξάμενος, Χαίρετε,* καὶ τοῖς σοῖς ἀποστόλοις,* εἰρήνην δωρούμενος,* ὁ τοῖς πεσοῦσι* παρέχων ἀνάστασιν.

Τῆς Κυριακῆς τοῦ Θωμᾶ.

Ἀπὸ τῆς Δευτέρας τοῦ Θωμᾶ ἄχρι τῆς ἀποδόσεως τῆς ἑορτῆς (Σάββατον πρὸ τῶν Μυροφόρων).

Ἦχος πλ. δ΄.

Τῇ φιλοπράγμονι δεξιᾷ* τὴν ζωοπάροχόν σου πλευρὰν* ὁ Θωμᾶς ἐξηρεύνησε,* Χριστὲ ὁ Θεός·* συγκεκλεισμένων γὰρ τῶν θυρῶν* ὡς εἰσῆλθες,* σὺν τοῖς λοιποῖς ἀποστόλοις ἐβόα σοι·* Κύριος ὑπάρχεις καὶ Θεός μου.

Τῆς Μεσοπεντηκοστῆς.

Ἀπὸ τῆς Τετάρτης τῆς Μεσοπεντηκοστῆς ἄχρι τῆς ἀποδόσεως τῆς ἑορτῆς (Τετάρτη πρὸ τῆς Κυριακῆς τοῦ Τυφλοῦ).

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς ἑορτῆς τῆς νομικῆς* μεσαζούσης,* ὁ τῶν ἁπάντων ποιητὴς* καὶ δεσπότης* πρὸς τοὺς παρόντας ἔλεγες, Χριστὲ ὁ Θεός·* Δεῦτε καὶ ἀρύσασθαι* ὕδωρ ἀθανασίας.* Ὅθεν σοι προσπίπτομεν* καὶ πιστῶς ἐκβοῶμεν·* τοὺς οἰκτιρμούς σου δώρησαι ἡμῖν·* σὺ γὰρ ὑπάρχεις* πηγὴ τῆς ζωῆς ἡμῶν.

Τῆς Ἀναλήψεως.

Ἀπὸ τῆς Πέμπτης τῆς Ἀναλήψεως ἄχρι τῆς ἀποδόσεως τῆς ἑορτῆς (Παρασκευὴ πρὸ τῆς Πεντηκοστῆς).

Ἦχος πλ. β΄. Αὐτόμελον.

Τὴν ὑπὲρ ἡμῶν* πληρώσας οἰκονομίαν* καὶ τὰ ἐπὶ γῆς* ἑνώσας τοῖς οὐρανίοις,* ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν,* οὐδαμόθεν χωριζόμενος,* ἀλλὰ μένων ἀδιάστατος* καὶ βοῶν τοῖς ἀγαπῶσί σε·* Ἐγώ εἰμι μεθ' ὑμῶν* καὶ οὐδεὶς καθ' ὑμῶν.

Τῆς Πεντηκοστῆς.

Ἀπὸ τῆς Κυριακῆς τῆς Πεντηκοστῆς ἄχρι τῆς ἀποδόσεως τῆς ἑορτῆς (Σάββατον πρὸ τῶν ἁγίων Πάντων).

Ἦχος πλ. δ΄.

Ὅτε καταβὰς* τὰς γλώσσας συνέχεε,* διεμέριζεν ἔθνη ὁ Ὕψιστος·* ὅτε τοῦ πυρὸς* τὰς γλώσσας διένειμεν,* εἰς ἑνότητα πάντας ἐκάλεσε·* καὶ συμφώνως δοξάζομεν* τὸ πανάγιον Πνεῦμα.

Τῆς Μεταμορφώσεως.

Ἀπὸ 27ης Ἰουλίου ἕως 13ης Αὐγούστου.

Ἦχος βαρύς.

Ἐπὶ τοῦ ὄρους* μετεμορφώθης,* καὶ ὡς ἐχώρουν* οἱ μαθηταί σου* τὴν δόξαν σου, Χριστὲ ὁ Θεός, ἐθεάσαντο·* ἵνα, ὅταν σὲ ἴδωσι σταυρούμενον,* τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον,* τῷ δὲ κόσμῳ κηρύξωσιν,* ὅτι σὺ ὑπάρχεις ἀληθῶς* τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Τῆς Κοιμήσεως τῆς Θεοτόκου.

Ἀπὸ 15ης Αὐγούστου ἄχρι τῆς ἀποδόσεως τῆς ἑορτῆς.

Ἦχος β΄. Αὐτόμελον.

Τὴν ἐν πρεσβείαις* ἀκοίμητον Θεοτόκον* καὶ προστασίαις* ἀμετάθετον ἐλπίδα,* τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν·* ὡς γὰρ ζωῆς μητέρα* πρὸς τὴν ζωὴν μετέστησεν* ὁ μήτραν οἰκήσας ἀειπάρθενον.

ΔΕΗΣΙΣ

ΓΙΝΟΜΕΝΗ ΕΝ ΥΠΟΔΟΧΑΙΣ

Ἀρχιερέως, Ἡγουμένου καὶ ἐπισήμων προσώπων

ἢ μετὰ τὴν Τράπεζαν

Ὁ Διάκονος·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ (δεῖνος) *μετὰ τῶν οἰκείων αὐτοῦ.*

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Μονὴν ταύτην καὶ πᾶσαν μονήν, πόλιν καὶ χώραν ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων,

ἐμφυλίου πολέμου καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ' ἡμῶν κινουμένην καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

Εἶτα, ὁ Ἀρχιερεὺς ἢ ὁ Ἱερεὺς ἐκφωνεῖ·

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐλέησον ἡμᾶς· ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Δόξα, καὶ νῦν, Κύριε, ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον. Καὶ ποιεῖ μικρὰν ἀπόλυσιν λέγων

ὁ Ἱερεύς·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἁγίου (τοῦ ναοῦ), καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι᾽ εὐχῶν τοῦ ἁγίου Δεσπότου (ἢ Πατρὸς ἢ πατέρων) ἡμῶν,...



Ε Ξ Ο Δ Ι Α Σ Τ Ι Κ Ο Ν

Ψαλλομένου Τρισαγίου ἐπὶ τῷ κοιμηθέντι ἢ ἐπὶ κολλύβων, ὁ Ἱερεύς, βαλὼν ἐπιτραχήλιον καὶ ἐπὶ τὸν θυμιατὸν θυμίαμα, ἐκφωνεῖ τὸ Εὐλογητὸς ὁ Θεὸς ἡμῶν... Καὶ ἄρχονται οἱ συμπαρόντες τὸ Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, ἐν ᾧ ὁ Ἱερεὺς ἢ ὁ Διάκονος, εἰ πάρεστι, θυμιᾷ καὶ εἶτα λέγει τὸ Ὅτι σοῦ ἐστιν ἡ βασιλεία. Μεθ' ὃ ψάλλονται τὰ τροπάρια ταῦτα.

Ἦχος δ´

Μετὰ πνευμάτων δικαίων τετελειωμένων,* τὴν ψυχὴν τοῦ δούλου | τῆς δούλης σου ,* Σῶτερ, ἀνάπαυσον,* φυλάττων αὐτὴν εἰς τὴν μακαρίαν ζωήν,* τὴν παρὰ σοί, φιλάνθρωπε.

Εἰς τὴν κατάπαυσίν σου, Κύριε,* ὅπου πάντες οἱ ἅγιοί σου ἀναπαύονται,* ἀνάπαυσον καὶ τὴν ψυχὴν τοῦ δούλου | τῆς δούλης σου,* ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

Δόξα.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν* ὁ καταβὰς εἰς Ἅδην,* καὶ τὰς ὀδύνας λύσας* τῶν πεπεδημένων·* αὐτὸς* καὶ τὴν ψυχὴν τοῦ δούλου | τῆς δούλης σου,* Σῶτερ, ἀνάπαυσον.

Καὶ νῦν.

Ἡ μόνη ἁγνὴ* καὶ ἄχραντος Παρθένος,* ἡ Θεὸν ἀσπόρως κυήσασα,* πρέσβευε ὑπὲρ τοῦ ἐλεηθῆναι* καὶ συγχωρηθῆναι τὴν ψυχὴν τοῦ δούλου | τῆς δούλης σου.

Ὁ Διάκονος, ἤ, μὴ ὄντος, ὁ Ἱερεύς, κρατῶν τὸ θυμιατήριον καὶ θυμιῶν μεθ᾽ ἑκάστην αἴτησιν, τοῦ χοροῦ ψάλλοντος τὸ Κύριε, ἐλέησον (γ΄), λέγει·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου | τῆς κεκοιμημένης δούλης τοῦ Θεοῦ (δεῖνος) καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ | αὐτῇ πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὴν ψυχὴν αὐτοῦ | αὐτῆς ἔνθα οἱ δίκαιοι ἀναπαύονται.

Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἄφεσιν τῶν ἑαυτοῦ | ἑαυτῆς ἁμαρτιῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Ὁ χορός· Παράσχου, Κύριε.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Καὶ ὁ Ἱερεὺς τὴν εὐχήν·

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας, τὸν δὲ διάβολον καταργήσας καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος· αὐτός, Κύριε, ἀνάπαυσον τὴν ψυχὴν τοῦ κεκοιμημένου δούλου | τῆς κεκοιμημένης δούλης σου (δεῖνος) ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός. Πᾶν ἁμάρτημα τὸ παρ᾽ αὐτοῦ | παρ᾽ αὐτῆς πραχθὲν ἐν λόγῳ ἢ ἔργῳ ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, συγχώρησον· ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει· σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ λόγος σου ἀλήθεια.

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου | τῆς κεκοιμημένης δούλης σου (δεῖνος), Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν δόξα σοι.

Εἶτα τὸ Δόξα, καὶ νῦν κ.τ.λ. καὶ ποιεῖ ἀπόλυσιν οὕτω·

Ὁ καὶ νεκρῶν καὶ ζώντων τὴν ἐξουσίαν ἔχων ὡς ἀθάνατος βασιλεὺς καὶ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ ἐνδόξων προπατόρων Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ, τοῦ ἁγίου καὶ δικαίου τετραημέρου φίλου τοῦ Χριστοῦ Λαζάρου, καὶ πάντων τῶν ἁγίων· τὴν ψυχὴν τοῦ ἐξ ἡμῶν μεταστάντος δούλου | τῆς ἐξ ἡμῶν μεταστάσης δούλης αὐτοῦ ἐν σκηναῖς δικαίων τάξαι, ἐν κόλποις Ἀβραὰμ ἀναπαῦσαι καὶ μετὰ ἁγίων καὶ δικαίων συναριθμῆσαι, ἡμᾶς δὲ ἐλεῆσαι καὶ σῶσαι ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Αἰωνία σου ἡ μνήμη, ἀξιομακάριστε καὶ ἀείμνηστε ἀδελφέ (ἢ ἀξιομακάριστος καὶ ἀείμνηστος ἀδελφὴ) ἡμῶν (γ΄).



ΜΝΗΜΟΝΕΥΣΙΣ
ΕΙΣ ΜΝΗΜΟΣΥΝΑ ΚΤΙΤΟΡΩΝ

Ἐλέησον ἡμᾶς, ὁ Θεός...

Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης καὶ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ, ὀρθοδόξων, καὶ τῶν δούλων τοῦ Θεοῦ (δείνων) καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὅπως Κύριος ὁ Θεός...

Τὰ ἐλέη τοῦ Θεοῦ...

Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ἡ εὐχὴ παρὰ τοῦ Ἱερέως Ὁ Θεὸς τῶν πνευμάτων...

καὶ εἶτα ἡ ἐπὶ τούτῳ νεκρώσιμος ἀπόλυσις.

ΜΝΗΜΟΝΕΥΣΙΣ
ΕΙΣ ΤΑ ΣΑΒΒΑΤΑ ΤΩΝ ΨΥΧΩΝ

Ἐλέησον ἡμᾶς, ὁ Θεός...

Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως τῶν ψυχῶν τῶν κοιμηθέντων δούλων σου, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, βασιλέων, πατριαρχῶν, ἀρχιερέων, ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων, μοναχῶν, μοναζουσῶν καὶ πάντων τῶν προπατόρων, πάππων, προπάππων, γονέων, πρὸ γονέων, ἀδελφῶν καὶ συγγενῶν, τῶν ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, τῶν ἐν γῇ, τῶν ἐν θαλάσσῃ, τῶν ἐν ἐρήμοις καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ἐν παντὶ τόπῳ τελειωθέντων, τῶν ἀπ' ἀρχῆς καὶ μέχρι τῶν ἐσχάτων, ὧν σύ, Κύριε, γινώσκεις τὰ ὀνόματα καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὅπως Κύριος ὁ Θεός...

Τὰ ἐλέη τοῦ Θεοῦ...

Τοῦ Κυρίου δεηθῶμεν.

Εἶτα ὁ Ἱερεὺς τὴν εὐχὴν Ὁ Θεὸς τῶν πνευμάτων...

μεθ' ἣν καὶ τὴν ἀπόλυσιν.

ΔΙΑΤΑΞΙΣ
ΙΕΡΑΤΙΚΟΥ ΣΥΛΛΕΙΤΟΥΡΓΟΥ

Ἐπὶ συλλειτουργίᾳ δύο Ἱερέων μεθ' ἑνὸς Διακόνου

Εἰς τὸν καιρὸν

Ὁ πρῶτος Ἱερεύς· βάλλει εὐλογητόν, λέγει τὸ Βασιλεῦ οὐράνιε, τὴν ἐκφώνησιν Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ τὸ τροπάριον Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον, λέγει τὴν εὐχὴν Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου, μεθ' ἣν ποιεῖ καὶ τὴν ἀπόλυσιν. Οὗτος καλύπτει καὶ ποιεῖ τὴν ἀπόλυσιν τῆς προσκομιδῆς.

Ὁ δεύτερος Ἱερεύς· λέγει τὸ Δόξα Πατρὶ καὶ τὸ τροπάριον Κύριε, ἐλέησον ἡμᾶς. Τὰ δὲ λοιπὰ ὁ Διάκονος.

Εἰς τὴν θ. Λειτουργίαν

Ὁ α΄ Ἱερεύς· λέγει τὰ πρὸ ταύτης διατεταγμένα Βασιλεῦ οὐράνιε, Δόξα ἐν ὑψίστοις, εὐλογεῖ τὸν Διάκονον, ἐκφωνεῖ τὸ Εὐλογημένη ἡ βασιλεία, τὴν μετὰ τὰ εἰρηνικὰ ἐκφώνησιν Ὅτι πρέπει σοι πᾶσα δόξα, ἀναγινώσκει μόνον αὐτὸς εἰς ἐπήκοον πάντων τῶν συλλειτουργούντων αὐτῷ Ἱερέων ἁπάσας τὰς εὐχὰς τῆς θ. Λειτουργίας, εὐλογεῖ τὴν εἴσοδον καὶ τὸν λαόν, λέγει κατὰ τὸ ἔθος τὸ Εἰρήνη πᾶσι, εἰρηνεύει τὸν ἀναγνώστην τοῦ Ἀποστόλου, εὐλογεῖ καὶ εἰρηνεύει τὸν εὐαγγελιστὴν Διάκονον πρὸ καὶ μετὰ τὸ Εὐαγγέλιον, λέγει τὰς ἐκφωνήσεις πρὸ τοῦ τρισαγίου ὕμνου Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, τὴν μετὰ τὴν εὐχὴν τῆς ἐκτενοῦς ἱκεσίας Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος, μετὰ τὴν β΄ εὐχὴν τῶν πιστῶν Ὅπως ὑπὸ τοῦ κράτους σου, θυμιᾷ κατὰ τὸ χερουβικόν, εἰσοδεύει μετὰ τοῦ ἁγίου ποτηρίου, λέγει τὴν ἐκφώνησιν Διὰ τῶν οἰκτιρμῶν, τὰ Ἡ χάρις τοῦ Κυρίου ἡμῶν, Ἄνω σχῶμεν τὰς καρδίας, Εὐχαριστήσωμεν τῷ Κυρίῳ,

Λάβετε, φάγετε, Πίετε ἐξ αὐτοῦ καί, εἰ ἔστιν ἔθος, τὸ Τὰ σὰ ἐκ τῶν σῶν, λέγει ἅπαντα τὰ τῆς ἁγίας ἀναφορᾶς καὶ τὸ Ἐξαιρέτως τῆς Παναγίας, ὁμοῦ δὲ μετὰ τοῦ ἑτέρου Ἱερέως τὸ Ἐν πρώτοις μνήσθητι, Κύριε, εἶτα τὰ Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι, Καὶ ἔσται τὰ ἐλέη, Τὰ ἅγια τοῖς ἁγίοις, κοινωνεῖ τὸν Διάκονον καὶ τοὺς πιστούς, λέγει τὸ Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ τὸ Πάντοτε νῦν καὶ ἀεί, τὴν ἐν τῇ προθέσει εὐχὴν Τὸ πλήρωμα τοῦ νόμου, εἶτα τὸ Εὐλογία Κυρίου καὶ ἔλεος, ποιεῖ τὴν ἀπόλυσιν καὶ διανέμει τὸ ἀντίδωρον.

Ὁ β΄ Ἱερεύς· λέγει τὰς ἐκφωνήσεις τῆς πρώτης μικρᾶς συναπτῆς Ὅτι σὸν τὸ κράτος καὶ τῆς δευτέρας Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος, τὰς ἐκφωνήσεις μετὰ τὴν εὐχὴν τῶν κατηχουμένων Ἵνα καὶ αὐτοὶ καὶ μετὰ τὴν α΄ εὐχὴν τῶν πιστῶν Ὅτι πρέπει σοι πᾶσα δόξα, τὴν ἐκφώνησιν Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, ὁμοῦ δὲ μετὰ τοῦ α΄ Ἱερέως τὸ Ἐν πρώτοις μνήσθητι, Κύριε, τὰς ἐκφωνήσεις Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, Χάριτι καὶ οἰκτιρμοῖς, τὸ Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, ἐπισυνάπτει τὸ Ἐν εἰρήνῃ προέλθωμεν καὶ ἀναγινώσκει τὴν ὀπισθάμβωνον εὐχήν.

• Ἰστέον ὅτι, ὅτε μὲν συλλειτουργοῦσι δύο Ἱερεῖς καὶ εἷς Διάκονος, ὁ β΄ Ἱερεὺς ἵσταται ἐξ ἀριστερῶν τοῦ α΄ Ἱερέως, ὁ δὲ Διάκονος ἐκ δεξιῶν τοῦ α΄ ἔν τε τῷ καιρῷ καὶ τῇ θ. Λειτουργίᾳ.

• Ἰστέον δὲ καὶ τοῦτο· πρὸ ἑκάστης ἐκφωνήσεως ὁ πρῶτος τῇ τάξει Ἱερεὺς δι᾽ ἐλαφρᾶς ὑποκλίσεως τῆς κεφαλῆς αὐτοῦ ἐπισημαίνει τῷ ἔχοντι τὴν σειρὰν Ἱερεῖ ἵνα ἐκφωνήσῃ ταύτην, οὗτος δὲ ἀποδεχόμενος ποιεῖ παρομοίως.

Ἐπὶ συλλειτουργίᾳ τριῶν Ἱερέων μεθ᾽ ἑνὸς Διακόνου

Ὁ α΄ Ἱερεύς· λέγει ὅσα προεγράφησαν ἀνωτέρω.

Ὁ β΄ Ἱερεύς· λέγει τὴν ἐκφώνησιν τῆς πρώτης μικρᾶς συναπτῆς Ὅτι σὸν τὸ κράτος, τὴν ἐκφώνησιν τῆς εὐχῆς τῶν κατηχουμένων Ἵνα καὶ αὐτοί, τὴν ἐκφώνησιν Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, ὁμοῦ μετὰ τῶν ἄλλων Ἱερέων τὸ Ἐν πρώτοις μνήσθητι, Κύριε, μετὰ τὴν Κυριακὴν προσευχὴν τὸ Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ μετὰ τὴν θ. κοινωνίαν τὴν ἐκφώνησιν Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν.

Ὁ γ´ Ἱερεύς· λέγει τὴν ἐκφώνησιν τῆς δευτέρας συναπτῆς Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος, τὴν ἐκφώνησιν τῆς α´ εὐχῆς τῶν πιστῶν Ὅτι πρέπει σοι πᾶσα δόξα, ὁμοῦ μετὰ τῶν ἄλλων συλλειτουργῶν τὸ Ἐν πρώτοις μνήσθητι, Κύριε, τὰς ἐκφωνήσεις Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, καὶ τὸ Χάριτι καὶ οἰκτιρμοῖς, ἐπισυνάπτει τὸ Ἐν εἰρήνῃ προέλθωμεν καὶ ἀναγινώσκει τὴν ὀπισθάμβωνον εὐχήν.

Ἐπὶ συλλειτουργίᾳ τεσσάρων Ἱερέων μεθ' ἑνὸς Διακόνου

Ὁ α´ Ἱερεύς· λέγει ἅπαντα τὰ αὐτῷ ἀνήκοντα ὡς ἀνωτέρω.

Ὁ β´ Ἱερεύς· λέγει τὴν ἐκφώνησιν τῆς α´ μικρᾶς συναπτῆς Ὅτι σὸν τὸ κράτος, τὰς ἐκφωνήσεις τῆς α´ εὐχῆς τῶν πιστῶν Ὅτι πρέπει σοι πᾶσα δόξα, μετὰ τὴν Κυριακὴν προσευχήν Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, ἐπισυνάπτει τὸ Ἐν εἰρήνῃ προέλθωμεν καὶ ἀναγινώσκει τὴν ὀπισθάμβωνον εὐχήν.

Ὁ γ´ Ἱερεύς· λέγει τὴν ἐκφώνησιν τῆς β´ μικρᾶς συναπτῆς Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος τὰς ἐκφωνήσεις Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα καὶ Χάριτι καὶ οἰκτιρμοῖς.

Ὁ δ´ Ἱερεύς· λέγει τὴν ἐκφώνησιν τῆς εὐχῆς τῶν κατηχουμένων Ἵνα καὶ αὐτοί, τὴν ἐκφώνησιν Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα καὶ μετὰ τὴν θ. κοινωνίαν Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν.

Ἐπὶ συλλειτουργίᾳ πέντε Ἱερέων μεθ' ἑνὸς Διακόνου

Ὁ α´ Ἱερεύς· λέγει τὰ αὐτῷ ἀνήκοντα.

Ὁ β´ Ἱερεύς· λέγει τὴν ἐκφώνησιν τῆς α´ μικρᾶς συναπτῆς Ὅτι σὸν τὸ κράτος, τὴν ἐκφώνησιν Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα καὶ μετὰ τὴν θ. κοινωνίαν Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν.

Ὁ γ´ Ἱερεύς· λέγει τὴν ἐκφώνησιν τῆς β´ μικρᾶς συναπτῆς Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος, τὴν ἐκφώνησιν Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα καὶ μετὰ τὴν θ. κοινωνίαν ἐπισυνάπτει τὸ Ἐν εἰρήνῃ προέλθωμεν καὶ ἀναγινώσκει τὴν ὀπισθάμβωνον εὐχήν.

Ὁ δ´ Ἱερεύς· λέγει τὴν ἐκφώνησιν τῆς εὐχῆς τῶν κατηχουμένων Ἵνα καὶ αὐτοὶ καὶ τὴν μετὰ τὴν Κυριακὴν προσευχὴν ἐκφώνησιν Ὅτι σοῦ ἐστιν ἡ βασιλεία.

Ὁ ε´ Ἱερεύς· λέγει τὴν ἐκφώνησιν τῆς α´ εὐχῆς τῶν πιστῶν Ὅτι πρέπει σοι πᾶσα δόξα καὶ τὴν ἐκφώνησιν Χάριτι καὶ οἰκτιρμοῖς.

Ἐπὶ συλλειτουργίᾳ Ἱερέων ἄνευ Διακόνου

Εἰ τύχοι συλλείτουργον Ἱερέων ἄνευ Διακόνου τότε τὰ διακονικά, ἤτοι εἰρηνικά, μικραὶ συναπταί, ἐκτενής, πληρωτικὰ καὶ λοιπαὶ αἰτήσεις κατανέμονται τοῖς Ἱερεῦσι, οἵτινες, ὑπὸ τῶν ἀνωτέρω προγεγραμμένων ἐπὶ συλλειτουργίᾳ διατάξεων, προβλέπεται ὅπως ποιήσωσι τὰς ἀντιστοίχους ἐκφωνήσεις π.χ.

Ὁ α´ Ἱερεύς· θὰ εἴπῃ τὰ εἰρηνικά, τὴν ἐκτενῆ καὶ τὰ πληρωτικὰ εἰς ἅπαντα τὰ συλλείτουργα καί, ὅπου ἐστὶν ἔθος, θὰ εἰσοδεύσῃ μετὰ τοῦ Εὐαγγελίου, εἰς τὴν μικρὰν εἴσοδον, μετὰ τοῦ ἁγίου ποτηρίου κατὰ τὴν μεγάλην εἴσοδον καὶ θὰ ἀναγνώσῃ τὸ ἅγιον Εὐαγγέλιον, ἤ, ἄλλως, ὡς ἑκασταχοῦ εἴθισται.

Ὁ β´ Ἱερεύς· θὰ εἴπῃ τὴν α´, καὶ ὅτε προβλέπεται, τὴν β´ μικρὰν συναπτὴν μετὰ τῶν ἐκφωνήσεων αὐτῶν, τὰς λοιπὰς προβλεπομένας αἰτήσεις καί, ἐπὶ συλλειτουργίᾳ μόνον δύο Ἱερέων, τὴν συναπτὴν Πάντων τῶν ἁγίων μνημονεύσαντες.

Ὁ γ´ Ἱερεύς· θὰ εἴπῃ τὴν β´ μικρὰν συναπτήν, τὰς δι᾽ αὐτὸν λοιπὰς προβλεπομένας αἰτήσεις καί, ἐπὶ συλλειτουργίᾳ τριῶν ἢ πέντε Ἱερέων, τὴν συναπτὴν Πάντων τῶν ἁγίων μνημονεύσαντες.

Ὁ δ´ Ἱερεύς· θὰ εἴπῃ τὴν συναπτὴν τῶν κατηχουμένων μετὰ τῆς ἐκφωνήσεως αὐτῆς, ἐπὶ συλλειτουργίᾳ τεσσάρων Ἱερέων τὴν συναπτὴν Πάντων τῶν ἁγίων μνημονεύσαντες καί, ἐπὶ συλλειτουργίᾳ πέντε Ἱερέων, τὴν μετὰ τὴν Κυριακὴν προσευχὴν ἐκφώνησιν Ὅτι σοῦ ἐστιν ἡ βασιλεία.

Ὁ ε´ Ἱερεύς· θὰ εἴπῃ τὴν α´ συναπτὴν τῶν πιστῶν μετὰ τῆς ἐκφωνήσεως αὐτῆς καὶ τὴν μετὰ τὴν κεφαλοκλισίαν ἐκφώνησιν Χάριτι καὶ οἰκτιρμοῖς.

Ἴσθι δὲ καὶ ταῦτα·

• Εἰς ἅπαντα τὰ συλλείτουργα ὁ τελευταῖος τῇ τάξει Ἱερεὺς ἐκφωνεῖ τὰ πρὸ τῆς ἀναγνώσεως τοῦ Ἀποστόλου διατεταγμένα **Πρόσχωμεν, Σοφία, Πρόσχωμεν,** εἰσοδεύει μετὰ τοῦ ἁγίου δίσκου καὶ ποιεῖ τὴν πρὸ τοῦ Εὐαγγελίου θυμίασιν. Τὴν δὲ προσκομιδήν, τὴν κάλυψιν τῶν τιμίων δώρων καὶ τὴν μετὰ ταύτην θυμίασιν ποιεῖ, ἐν μὲν τοῖς μοναστηρίοις ὁ ἐφημέριος Ἱερεύς, ἐν δὲ ταῖς ἐνορίαις ὁ β´ τῇ τάξει Ἱερεύς, εἰ ἔστιν ἔθος.

• Ἐὰν αἱ συνήθειαι ποικίλουν κατὰ τόπους καὶ περιπτώσεις ἢ ἐὰν παραλείπηται συναπτὴ ἢ αἴτησίς τις ἢ ἐὰν συλλειτουργῶσι πλείονες τῶν πέντε Ἱερέων, τότε ὁ α´ Ἱερεὺς εἴθισται νὰ διανέμῃ τὰς ἱερατικὰς ἐκφωνήσεις ἐναλλὰξ ἢ κατὰ τὴν κρίσιν αὐτοῦ, κρατῶν δι᾿ ἑαυτὸν τὰς πλέον σημαντικὰς καὶ καιρίας.

Εὐνόητόν ἐστιν ὅτι πᾶσαι αἱ ἀνωτέρω διατάξεις συλλειτουργίας ἀλλάσσουν ὅτε συλλειτουργεῖ Ἀρχιερεύς· καὶ οὕτως ἄλλως πως κατανέμονται αἱ εἰς τοὺς Ἱερεῖς ἀνήκουσαι ἐκφωνήσεις.

• Εἰσοδικόν, ἀπολυτίκιον, κοντάκιον ἢ τρισάγιον τοῦ Βήματος ψάλλονται ὑπὸ τῶν συλλειτουργούντων Ἱερέων μόνον εἰς ἐπίσημα πατριαρχικά, συνοδικὰ καὶ ἀρχιερατικὰ συλλείτουργα ἢ εἰς μεγάλας Δεσποτικὰς καὶ Θεομητορικὰς ἑορτὰς καὶ πανηγύρεις. Θυμίασις δὲ μετὰ τὴν μικρὰν εἴσοδον μόνον ὑπὸ Ἀρχιερέως γίνεται καὶ οὐχὶ ὑπὸ Ἱερέως, ἀρχιερατικὸν γὰρ προνόμιόν ἐστι καὶ οὐχὶ ἱερατικόν.



ΔΙΑΤΑΞΙΣ
ΑΡΧΙΕΡΑΤΙΚΗΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

Εἰς τὸν καιρὸν καὶ τὴν πρόθεσιν

Οἱ μέλλοντες συλλειτουργῆσαι Ἱερεῖς ποιοῦσιν ἀνὰ δύο μετάνοιαν τῷ Ἀρχιερεῖ, ὄντι ἐν τῷ θρόνῳ, καὶ εἰσέρχονται διὰ τῆς νοτίου πύλης εἰς τὸ ἅγιον βῆμα, ἔνθα ἐνδύεται ἕκαστος τὴν ἱερατικὴν αὐτοῦ στολήν.

Εἶτα ὁ ἐφημέριος Ἱερεὺς ἐν τοῖς μοναστηρίοις ἤ, εἰ ἔστιν ἔθος, ὁ β´ τῇ τάξει ἐν ταῖς ἐνορίαις ποιεῖ τὴν προσκομιδὴν καὶ οὐ τελειοῖ ταύτην, ἀλλὰ μετὰ τὴν ἐξαγωγὴν τῶν μερίδων τῆς Θεοτόκου καὶ τῶν Ἁγίων καλύπτει τὸ ἅγιον ποτήριον δι᾽ ἑνὸς καλύμματος μὴ εὐλογῶν τὴν ἕνωσιν. Δῆλον γάρ ἐστι ὅτι ὁ ἱερουργῶν Ἀρχιερεὺς ἀποτελειοῖ τὴν πρόθεσιν ψαλλομένου τοῦ χερουβικοῦ ὕμνου, πρὸ τῆς μεγάλης εἰσόδου.

Ψαλλομένης τῆς δοξολογίας ἐξέρχονται πρῶτον οἱ Ἱερεῖς, ἀρχόμενοι ἀπὸ τοῦ τελευταίου ἄχρι τοῦ α´ τῇ τάξει, εἶτα οἱ Διάκονοι καὶ μετ᾽ αὐτοὺς ὁ Ἀρχιερεύς. Ἵστανται δὲ ἔνθεν καὶ ἔνθεν τοῦ Ἀρχιερέως μετὰ τοὺς φέροντας τὰ δικηροτρίκηρα Διακόνους.

Τὰς αἰτήσεις τῆς ἐκτενοῦς καὶ τῶν πληρωτικῶν λέγουσιν οἱ Διάκονοι, ὁ δὲ Ἀρχιερεὺς τὰς ἐκφωνήσεις καὶ τὴν ἀπόλυσιν.

Εἰς τὴν ἐν τῷ σολέᾳ ἔνδυσιν

Ἐν πανηγυρικαῖς Λειτουργίαις, προκειμένου νὰ ἐνδυθῇ ὁ Ἀρχιερεὺς ἐν τῷ μέσῳ τοῦ ναοῦ ἢ τοῦ σολέα, εὐθὺς μετὰ τὴν δοξολογίαν οἱ μὲν Διάκονοι ἐκφωνοῦσιν τὸ **Ἱερεῖς ἐξέλθετε** καὶ **Ἐξέλθετε Ἱερεῖς**, οἱ δὲ Ἱερεῖς φέροντες ἐν δίσκοις ἢ ἐν χείραις τὰ ἀρχιερατικὰ ἄμφια ἐξέρχονται τοῦ Βήματος κατὰ τὰ ὀφφίκια ἢ τὰ πρεσβεῖα χειροτονίας αὐτῶν, ἀρχόμενοι ἀπὸ τοῦ τελευταίου ἄχρι τοῦ α´ τῇ τάξει, φέροντος τὴν ἀρχιερατικὴν ῥάβδον, καὶ ἵστανται ἔνθεν καὶ ἔνθεν τοῦ Ἀρχιερέως ἐν τῷ μέσῳ τοῦ ναοῦ, ἔνθα ἐστὶ τοποθετημένος θρόνος.

Κατὰ τὴν ἔνδυσιν τοῦ Ἀρχιερέως οἱ ἔχοντες ἀνὰ χεῖρας ἀρχιερατικὰ ἄμφια Ἱερεῖς ἐπιδίδωσι κατὰ τάξιν ταῦτα τοῖς Διακόνοις, οἵτινες καὶ ἐνδύουσι τὸν Ἀρχιερέα.

Εἰς τὴν ἔναρξιν τῆς θ. Λειτουργίας

Μετὰ τὰ ὑπὸ τοῦ Διακόνου κατὰ τὴν τάξιν λεχθέντα Καιρὸς τοῦ ποιῆσαι καὶ τὰ ἑξῆς οἱ Ἱερεῖς ἀσπάζονται κατὰ τάξιν τὴν χεῖρα τοῦ Ἀρχιερέως εὐλογοῦντος ἕνα ἕκαστον αὐτῶν. Εἶτα ὁ προϊστάμενος τῶν Ἱερέων, μικρὸν ὑποκλιθεὶς πρὸ τοῦ Ἀρχιερέως μετὰ τοῦ πρωτεύοντος τῶν Διακόνων, εἰσέρχεται διὰ τῆς ὡραίας πύλης ἐν τῷ ἁγίῳ βήματι καὶ προσκυνήσας τὸ ἅγιον εὐαγγέλιον καὶ τὴν ἁγίαν Τράπεζαν ἐκφωνεῖ τὸ Εὐλογημένη ἡ βασιλεία..., ὁ δὲ Διάκονος ἀπαγγέλλει τὰ εἰρηνικά. Κατὰ τὴν Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν... δέησιν ὁ Ἱερεὺς στρέφεται καὶ ποιεῖ σχῆμα πρὸς τὸν Ἀρχιερέα συγχρόνως μετὰ τοῦ Διακόνου. Οὕτω ποιεῖ καὶ μετὰ τὴν ἐκφώνησιν Ὅτι πρέπει σοι πᾶσα δόξα.

Ὁμοίως ποιοῦσι καὶ οἱ λοιποὶ Ἱερεῖς εἰσερχόμενοι ἐν τῷ Βήματι καὶ μεθ᾽ ἑκάστην ἐκφώνησιν ἤτοι· ὁ μὲν β´ τῇ τάξει Ἱερεὺς εἰσέρχεται ἐν αὐτῷ πρὸ τῆς συμπληρώσεως τοῦ α´ ἀντιφώνου ἢ τῆς α´ στάσεως τῶν τυπικῶν καὶ ἐκφωνεῖ τὸ Ὅτι σὸν τὸ κράτος, ὁ δὲ γ´ τῇ τάξει καὶ ἅπαντες οἱ λοιποὶ Ἱερεῖς πρὸ τοῦ τέλους τοῦ β´ ἀντιφώνου ἢ τῆς β´ στάσεως τῶν τυπικῶν καὶ ἐκφωνεῖ τὸ Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἰς τὴν μικρὰν εἴσοδον

Κατὰ τὴν μικρὰν εἴσοδον προπορεύονται οἱ Διάκονοι καὶ ἕπονται οἱ Ἱερεῖς κατὰ τὴν τάξιν αὐτῶν, οἵτινες καὶ ἵστανται ἔνθεν καὶ ἔνθεν τοῦ Ἀρχιερέως, τούτου ἐπιδόσαντος τὴν ῥάβδον τῷ πρώτῳ τῇ τάξει τῶν Ἱερέων. Εἶτα συμψάλλουσι μετ᾽ αὐτοῦ τὸ εἰσοδικὸν καὶ εἰσέρχονται ἑπόμενοι αὐτοῦ εἰς τὸ ἅγιον βῆμα.

Εἰσελθόντες οἱ Ἱερεῖς τάσσονται ἑκατέρωθεν τῆς ἁγίας Τραπέζης κατὰ τὰ ὀφφίκια ἢ τὰ πρεσβεῖα χειροτονίας αὐτῶν καὶ μετὰ τὸ πέρας τῶν ἀπολυτικίων ψάλλεται ἀπὸ τοῦ Βήματος ὑπὸ τοῦ Ἀρχιερέως καὶ τῶν Ἱερέων τὸ διατεταγμένον κοντάκιον.

Εἰς τὸ Τρισάγιον καὶ τὴν φήμην

Μετὰ τὴν ἐκφώνησιν Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν ψάλλεται ὁ Τρισάγιος ὕμνος οὕτως· ὑπὸ τῶν χορῶν τὸ πρῶτον καὶ δεύτερον

καὶ ὑπὸ τῶν Ἱερέων ἐκ τοῦ Βήματος τὸ τρίτον. Εἶτα τὸ τέταρτον ὑπὸ τοῦ δεξιοῦ χοροῦ, τὸ δὲ πέμπτον ἐκ τοῦ Βήματος. Τὸ **Δόξα Πατρί, καὶ νῦν καὶ ἀεί, Ἅγιος ἀθάνατος** ὑπὸ τῶν χορῶν.

Εἶτα ψάλλεται ὑπὸ τῶν Ἱερέων ἀργῶς εἰς τρεῖς στάσεις τὸ Τρισάγιον τὸ λεγόμενον τοῦ Βήματος, ἐν ᾧ ὁ Ἀρχιερεύς, ἐξελθὼν ἐν τῷ σολέᾳ, λέγει κατὰ τὸ ἐνδιάμεσον τρὶς τὸ **Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ,** μεθ' ὃ οἱ Ἱερεῖς ψάλλουσι τὸ τέλος τοῦ Τρισαγίου **Ἐλέησον ἡμᾶς,** ὁ δὲ Διάκονος ἐκφωνεῖ τὸ **Δύναμις.**

Μετὰ τὸ Τρισάγιον ἐκφωνεῖται ὑπὸ τοῦ Διακόνου τὸ πρῶτον **Κύριε, σῶσον τοὺς εὐσεβεῖς,** ὅπερ ἐπαναλαμβάνουσιν ψάλλοντες οἱ Ἱερεῖς ἅπαξ· ὁμοίως ποιοῦσι καὶ διὰ τὸ **Καὶ ἐπάκουσον ἡμῶν.**

Μετὰ τὴν ὑπὸ τοῦ Διακόνου ἐκφώνησιν πρῶτον τῆς φήμης τοῦ Οἰκουμενικοῦ Πατριάρχου, ἐν τῷ κλίματι αὐτοῦ, οἱ Ἱερεῖς ψάλλουσι ταύτην ὁμοῦ μετὰ τοῦ Ἀρχιερέως· μετὰ δὲ τὴν ἐκφώνησιν τῆς φήμης τοῦ λειτουργοῦντος Ἀρχιερέως οἱ Ἱερεῖς μόνοι ψάλλουσι ταύτην ποιοῦντες σχῆμα τῷ Ἀρχιερεῖ, ὅστις καὶ εὐλογεῖ αὐτούς.

Εἰς τὴν μεγάλην εἴσοδον

Μετὰ τὴν ὑπὸ τοῦ Ἀρχιερέως ἐν τῇ προθέσει κάλυψιν τῶν τιμίων δώρων ὁ πρῶτος τῇ τάξει Ἱερεὺς λαμβάνει ἐκ τῶν χειρῶν τοῦ Ἀρχιερέως τὸ ἅγιον ποτήριον, ὁ δεύτερος τὸ ὠμοφόριον καὶ οἱ λοιποὶ κατὰ σειρὰν τὴν ἁγίαν λαβίδα, τὴν ἁγίαν λόγχην ἢ σταυρούς. Καὶ γίνεται ἡ μεγάλη εἴσοδος προπορευομένου τοῦ φέροντος τὸ ὠμοφόριον Ἱερέως — ὅστις εἶτα θέτει τοῦτο ἐπὶ τῶν ὤμων τοῦ Ἀρχιερέως καὶ ἵσταται κατόπιν ἐξ εὐωνύμων αὐτοῦ — τῶν Διακόνων μετὰ θυμιατηρίων καὶ τοῦ ἁγίου δίσκου, τοῦ κρατοῦντος τὸ ἅγιον ποτήριον Ἱερέως καὶ τῶν λοιπῶν κατὰ τάξιν Ἱερέων, οἵτινες ἵστανται ἔνθεν καὶ ἔνθεν τοῦ α΄ τῇ τάξει Ἱερέως καὶ βλέπουσι κατὰ ἀνατολάς.

Ὁ Ἀρχιερεὺς μνημονεύει τῶν ζώντων καὶ εἶτα ὁ ἐν τῷ μέσῳ τοῦ ναοῦ ἢ τοῦ σολέα ἑστὼς πρῶτος Ἱερεὺς ἐκφωνεῖ τὸ **Τῆς Ἀρχιερωσύνης σου μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε...,** παραδίδει τῷ Ἀρχιερεῖ τὸ ἅγιον ποτήριον ἀσπαζόμενος τὴν δεξιὰν αὐτοῦ καὶ ἵσταται ἐκ δεξιῶν αὐτοῦ, τούτου μνημονεύοντος τῶν τεθνεώτων. Εἶτα εἰσέρχεται ἐν τῷ Βήματι ἀκολουθούντων τῶν Ἱερέων καὶ Διακόνων.

Εἰς τὸν ἀσπασμὸν τῆς εἰρήνης

Ὅταν ὁ Διάκονος εἴπῃ τὸ Ἀγαπήσωμεν ἀλλήλους πρῶτος ὁ Ἀρχιερεὺς ἀσπάζεται τὰ τίμια δῶρα καὶ ἵσταται εἰς τὸ ἔμπροσθεν τῆς ἁγίας Τραπέζης δεξιὸν μέρος. Οἱ δὲ Ἱερεῖς προσέρχονται ὁμοίως κατὰ σειράν, ἀσπάζονται τὰ τίμια δῶρα, λέγοντες καὶ οὗτοι καθ' ἑαυτοὺς τὸ Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, καὶ εἶτα τοὺς ἐν τῷ ὠμοφορίῳ τοῦ Ἀρχιερέως σταυρούς, ἀρχόμενοι ἐξ ἀριστερῶν πρὸς τὰ δεξιά, καὶ τὴν δεξιὰν χεῖρα αὐτοῦ, λέγοντος τὸ Ὁ Χριστὸς ἐν τῷ μέσῳ ἡμῶν εἰς ὃ καὶ ἀπαντῶσι διὰ τοῦ Καὶ ἔστι καὶ ἔσται.

Εἰς τὸ Σύμβολον καὶ τὴν ἁγίαν ἀναφορὰν

Ἀπαγγελλομένου τοῦ Πιστεύω ὁ μὲν Ἀρχιερεὺς κλίνει τὴν κεφαλὴν αὐτοῦ ἐπὶ τῆς ἁγίας Τραπέζης, οἱ δὲ Ἱερεῖς κρατοῦσι ἐκ τῶν τεσσάρων ἄκρων ἀνοικτὸν τὸν ἀέρα ὑπεράνω τῆς κεφαλῆς αὐτοῦ καὶ ἀνασείουσιν αὐτὸν ἠρέμως ἄχρι τῆς τοῦ Ἀρχιερέως ἐγέρσεως.

Μετὰ τὴν ὑπὸ τοῦ Ἀρχιερέως ἐκφώνησιν τοῦ Ἐν πρώτοις μνήσθητι, Κύριε οἱ Ἱερεῖς ἐπαναλαμβάνουσι τοῦτο μνημονεύοντες τοῦ ὀνόματος αὐτοῦ καὶ ποιοῦντες αὐτῷ μικρὰν ὑπόκλισιν τῆς κεφαλῆς αὐτῶν.

Εἰς τὴν θ. Κοινωνίαν καὶ τὴν ἀπόλυσιν

Ὁ Ἀρχιερεὺς μεταλαβὼν πρῶτος τοῦ τιμίου σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου προσκαλεῖ καὶ μεταδίδει κατὰ σειρὰν τοῖς Ἱερεῦσι πρῶτον ἐκ τοῦ ἁγίου ἄρτου καὶ εἶτα ἐκ τοῦ ἁγίου ποτηρίου κατὰ τὴν ἐν τῇ θ. Λειτουργίᾳ προγραφεῖσαν τάξιν.

Ὁ α' Ἱερεὺς ἐκφωνεῖ τὸ Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν ὡς καὶ τὴν ὀπισθάμβωνον εὐχήν.

Εἶτα, ἀρχόμενοι ἀπὸ τοῦ τελευταίου τῇ τάξει ἄχρι τοῦ πρώτου, ἐξέρχονται οἱ Ἱερεῖς καὶ ἵστανται ἑκατέρωθεν τοῦ ἀρχιερατικοῦ θρόνου καὶ ποιεῖ ὁ πρῶτος Ἱερεὺς τὴν ἀπόλυσιν ἐπιλέγων καὶ τὸ Δι' εὐχῶν τοῦ ἁγίου Δεσπότου ἡμῶν.

Μετὰ ταῦτα εἰσέρχονται ἐν τῷ ἱερατείῳ καὶ ἐκδύονται τὰς στολὰς αὐτῶν.

ΠΑΡΑΡΤΗΜΑ

ΣΤΙΧΟΙ ΕΙΣ ΤΟ

ΧΡΙΣΤΟΣ ΑΝΕΣΤΗ

Στίχ. α΄. Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.


Στίχ. β΄. Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

Στίχ. γ΄. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ· καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Στίχ. δ΄. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



ΕΚΦΩΝΗΣΕΙΣ ΤΟΥ ΚΑΝΟΝΟΣ ΤΟΥ ΠΑΣΧΑ

Εἰς τὴν α΄ ᾠδήν.

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἰς τὴν γ΄ ᾠδήν.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι...

Εἰς τὴν δ΄ ᾠδήν.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί...

Εἰς τὴν ε΄ ᾠδήν.

Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός...

Εἰς τὴν ς΄ ᾠδήν.

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί...

Εἰς τὴν ζ΄ ᾠδήν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρός...

Εἰς τὴν η΄ ᾠδήν.

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρός...

Εἰς τὴν θ΄ ᾠδήν.

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί...

ΛΟΓΟΣ ΚΑΤΗΧΗΤΙΚΟΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Κυριακῇ τοῦ Πάσχα

Εὐλόγησον Πάτερ

Εἴ τις εὐσεβὴς καὶ φιλόθεος, ἀπολαυέτω ταύτης τῆς καλῆς καὶ φαιδρᾶς πανηγύρεως. Εἴ τις δοῦλος εὐγνώμων, εἰσελθέτω χαίρων εἰς τὴν χαρὰν τοῦ Κυρίου αὐτοῦ. Εἴ τις ἔκαμε νηστεύων, ἀπολαυέτω νῦν τὸ δηνάριον. Εἴ τις ἀπὸ τῆς πρώτης ὥρας εἰργάσατο, δεχέσθω σήμερον τὸ δίκαιον ὄφλημα. Εἴ τις μετὰ τὴν τρίτην ἦλθεν, εὐχαρίστως ἑορτασάτω. Εἴ τις μετὰ τὴν ἕκτην ἔφθασε, μηδὲν ἀμφιβαλέτω, καὶ γὰρ οὐδὲν ζημιοῦται. Εἴ τις ὑστέρησεν εἰς τὴν ἐνάτην, προσελθέτω μηδὲν ἐνδοιάζων. Εἴ τις εἰς μόνην ἔφθασε τὴν ἑνδεκάτην, μὴ φοβηθῇ τὴν βραδύτητα· φιλότιμος γὰρ ὢν ὁ δεσπότης, δέχεται τὸν ἔσχατον καθάπερ καὶ τὸν πρῶτον· ἀναπαύει τὸν τῆς ἑνδεκάτης, ὡς τὸν ἐργασάμενον ἀπὸ τῆς πρώτης· καὶ τὸν ὕστερον ἐλεεῖ καὶ τὸν πρῶτον θεραπεύει· κἀκείνῳ δίδωσι καὶ τούτῳ χαρίζεται· καὶ τὰ ἔργα δέχεται καὶ τὴν γνώμην ἀσπάζεται· καὶ τὴν πρᾶξιν τιμᾷ καὶ τὴν πρόθεσιν ἐπαινεῖ.

Οὐκοῦν εἰσέλθετε πάντες εἰς τὴν χαρὰν τοῦ Κυρίου ἡμῶν, καὶ πρῶτοι καὶ δεύτεροι τὸν μισθὸν ἀπολάβετε. Πλούσιοι καὶ πένητες μετ' ἀλλήλων χορεύσατε. Ἐγκρατεῖς καὶ ῥᾴθυμοι τὴν ἡμέραν τιμήσατε. Νηστεύσαντες καὶ μὴ νηστεύσαντες, εὐφράνθητε σήμερον. Ἡ τράπεζα γέμει, τρυφήσατε πάντες. Ὁ μόσχος πολύς, μηδεὶς ἐξέλθῃ πεινῶν. Πάντες ἀπολαύσατε τοῦ συμποσίου τῆς πίστεως. Πάντες ἀπολαύσατε τοῦ πλούτου τῆς χρηστότητος. Μηδεὶς θρηνείτω πενίαν· ἐφάνη γὰρ ἡ κοινὴ βασιλεία. Μηδεὶς ὀδυρέσθω πταίσματα· συγγνώμη γὰρ ἐκ τοῦ τάφου ἀνέτειλε. Μηδεὶς φοβείσθω θάνατον· ἠλευθέρωσε γὰρ ἡμᾶς ὁ τοῦ Σωτῆρος θάνατος. Ἔσβεσεν αὐτὸν ὑπ' αὐτοῦ κατεχόμενος. Ἐσκύλευσε τὸν Ἅδην, ὁ κατελθὼν εἰς τὸν Ἅδην. Ἐπίκρανεν αὐτόν, γευσάμενον τῆς σαρκὸς αὐτοῦ.

Καὶ τοῦτο προλαβὼν Ἡσαΐας ἐβόησεν· ὁ Ἅδης, φησίν, ἐπικράνθη συναντήσας σοι κάτω. Ἐπικράνθη· καὶ γὰρ κατηργήθη. Ἐπικράνθη· καὶ γὰρ ἐνεπαίχθη. Ἐπικράνθη· καὶ γὰρ ἐνεκρώθη. Ἐπικράνθη· καὶ γὰρ καθῃρέθη. Ἐπικράνθη· καὶ γὰρ ἐδεσμεύθη. Ἔλαβε σῶμα καὶ Θεῷ περιέτυχεν. Ἔλαβε γῆν καὶ συνήντησεν οὐρανῷ. Ἔλαβεν, ὅπερ ἔβλεπε, καὶ πέπτωκεν, ὅθεν οὐκ ἔβλεπε. Ποῦ σου, θάνατε, τὸ κέντρον; Ποῦ σου,

Ἅδη, τὸ νῖκος; Ἀνέστη Χριστός, καὶ σὺ καταβέβλησαι. Ἀνέστη Χριστός, καὶ πεπτώκασι δαίμονες. Ἀνέστη Χριστός, καὶ χαίρουσιν ἄγγελοι. Ἀνέστη Χριστός, καὶ ζωὴ πολιτεύεται. Ἀνέστη Χριστός, καὶ νεκρὸς οὐδεὶς ἐπὶ μνήματος. Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



ΕΥΧΑΙ
ΕΙΣ ΔΙΑΦΟΡΟΥΣ ΠΕΡΙΣΤΑΣΕΙΣ

Ἐπὶ μετανοούντων

Κύριε, Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος, ποιμὴν καὶ ἀμνέ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· ὁ τὸ δάνειον χαρισάμενος τοῖς δυσὶ χρεωφειλέταις καὶ τῇ ἁμαρτωλῷ δοὺς ἄφεσιν ἁμαρτιῶν, αὐτός, Δέσποτα, ἄνες, ἄφες, συγχώρησον τὰς ἁμαρτίας, τὰς ἀνομίας, τὰ πλημμελήματα, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν γνώσει, τὰ ἐν ἀγνοίᾳ, τὰ ἐν παραβάσει καὶ παρακοῇ γενόμενα παρὰ τῶν δούλων σου τούτων. Καὶ εἴ τι, ὡς ἄνθρωποι σάρκα φοροῦντες καὶ τὸν κόσμον οἰκοῦντες, ἐκ τοῦ διαβόλου ἐπλανήθησαν, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ, εἴτε ἐν γνώσει, εἴτε ἐν ἀγνοίᾳ, εἴτε λόγον ἱερέως κατεπάτησαν, ἢ ὑπὸ κατάραν ἱερέως ἐγένοντο, εἴτε τῷ ἰδίῳ ἀναθέματι ὑπέπεσον, ἢ ὅρκῳ ὑπήχθησαν, αὐτός, ὡς ἀγαθὸς καὶ ἀμνησίκακος Δεσπότης, τούτους τοὺς δούλους σου λόγῳ λυθῆναι εὐδόκησον, συγχωρῶν αὐτοῖς καὶ τὸ ἴδιον ἀνάθεμα καὶ τὸν ὅρκον, κατὰ τὸ μέγα σου ἔλεος. Ναί, Δέσποτα φιλάνθρωπε Κύριε, ἐπάκουσον

ἡμῶν δεομένων τῆς σῆς ἀγαθότητος ὑπὲρ τῶν δούλων σου τούτων, καὶ πάριδε ὡς πολυέλεος τὰ πταίσματα αὐτῶν ἅπαντα· ἀπάλλαξον αὐτοὺς τῆς αἰωνίου κολάσεως· σὺ γὰρ εἶπας, Δέσποτα, «ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ».

Ὅτι σὺ εἶ μόνος ἀναμάρτητος καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τῶν κολλύβων
εἰς μνήμην ἁγίου

Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ σου, Κύριε, καὶ κελεύσας τῇ γῇ παντοδαποὺς ἐκφύειν καρποὺς εἰς ἀπόλαυσιν καὶ τροφὴν ἡμετέραν· ὁ τοῖς σπέρμασι τοὺς τρεῖς Παῖδας καὶ Δανιήλ, τῶν ἐν Βαβυλῶνι ἁβροδιαίτων λαμπροτέρους ἀναδείξας· αὐτός, πανάγαθε βασιλεῦ, καὶ τὰ σπέρματα ταῦτα σὺν τοῖς διαφόροις καρποῖς εὐλόγησον, καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας ἁγίασον· ὅτι εἰς δόξαν σὴν καὶ εἰς τιμὴν τοῦ ἁγίου (δεῖνος) ταῦτα προετέθησαν παρὰ τῶν σῶν δούλων καὶ εἰς μνημόσυνον τῶν ἐν εὐσεβεῖ

τῇ πίστει τελειωθέντων. Παράσχου δέ, ἀγαθέ, τοῖς τε εὐτρεπίσασι ταῦτα καὶ τοῖς τὴν μνήμην ἐπιτελοῦσι πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ τῶν αἰωνίων σου ἀγαθῶν τὴν ἀπόλαυσιν· πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου (δεῖνος), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων.

Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὸ δοῦναι τὰ βαΐα
τῇ βαϊοφόρῳ

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, ὁ ἐξεγείρας τὴν δυναστείαν σου καὶ ἀποστείλας τὸν μονογενῆ σου Υἱόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἵνα σώσῃ τὸν κόσμον διὰ τοῦ σταυροῦ, τῆς ταφῆς καὶ τῆς ἀναστάσεως αὐτοῦ· οὗ παραγενομένου ἐν Ἱερουσαλὴμ ἐπὶ τὸ ἑκούσιον πάθος, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει καὶ σκιᾷ θανάτου, λαβόντες τὰ τῆς νίκης σύμβολα, τοὺς κλάδους τῶν δένδρων καὶ τὰ βαΐα τῶν φοινίκων, τὴν ἀ-

νάστασιν προεμήνυσαν· αὐτός, Δέσποτα, καὶ ἡμᾶς, τοὺς κατὰ μίμησιν ἐκείνων τῇ προεορτίῳ ταύτῃ ἡμέρᾳ βαΐα καὶ κλάδους δένδρων ἐν χερσὶ φέροντας, διατήρησον, καί, ὡς ἐκεῖνοι οἱ ὄχλοι καὶ οἱ παῖδες, τὸ «Ὡσαννά» σοι προσφέροντας, διαφύλαξον.

Ὅπως ἐν ὕμνοις καὶ ᾄσμασι καὶ ᾠδαῖς πνευματικαῖς καταξιωθῶμεν τῆς ζωοποιοῦ καὶ τριημέρου ἀναστάσεως, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς μετάληψιν σταφυλῆς
τῇ ἕκτῃ Αὐγούστου

Εὐλόγησον, Κύριε, τὸν καρπὸν τοῦτον τῆς ἀμπέλου τὸν νέον, ὃν διὰ τῆς τοῦ ἀέρος εὐκρασίας καὶ τῶν σταγόνων τῆς βροχῆς καὶ τῆς τῶν καιρῶν γαλήνης εἰς ταύτην τὴν ὡριμωτάτην στάσιν ἐλθεῖν ηὐδόκησας, ἵνα ᾖ ἐν ἡμῖν, τοῖς ἐξ αὐτοῦ τοῦ γεννήματος τῆς ἀμπέλου μεταλαμβάνουσιν, εἰς εὐφροσύνην, καὶ τοῖς προσενέγκασι δῶρον εἰς ἐξιλασμὸν ἁμαρτιῶν διὰ τοῦ ἱεροῦ καὶ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΑΙ
ΤΗΣ ΘΕΙΑΣ ΜΕΤΑΛΗΨΕΩΣ

Πρὸ αὐτῆς

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον σῶμά σου καὶ τοῦτο αὐτό ἐστι τὸ τίμιον αἷμά σου. Δέομαι οὖν σου, ἐλέησόν με καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ἀμήν.

Ἰδοὺ βαδίζω πρὸς θείαν κοινωνίαν·
πλαστουργέ, μὴ φλέξῃς με τῇ μετουσίᾳ·
πῦρ γὰρ ὑπάρχεις τοὺς ἀναξίους φλέγον·
ἀλλ' οὖν κάθαρον ἐκ πάσης με κηλῖδος.

Τοῦ δείπνου σου τοῦ μυστικοῦ* σήμερον, Υἱὲ Θεοῦ, * κοινωνόν με παράλαβε·* οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου* τὸ μυστήριον εἴπω,* οὐ φίλημά σοι δώσω,* καθάπερ ὁ Ἰούδας·* ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι·* Μνήσθητί μου, Κύριε,* ἐν τῇ βασιλείᾳ σου.

Θεουργὸν αἷμα φρῖξον, ἄνθρωπε, βλέπων·
ἄνθραξ γάρ ἐστι τοὺς ἀναξίους φλέγων.
Θεοῦ τὸ σῶμα καὶ θεοῖ με καὶ τρέφει·
θεοῖ τὸ πνεῦμα, τὸν δὲ νοῦν τρέφει ξένως.

Ἔθελξας* πόθῳ με, Χριστέ,* καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι·* ἀλλὰ κατάφλεξον* πυρὶ ἀΰλῳ τὰς ἁμαρτίας μου,* καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ* τρυφῆς καταξίωσον,* ἵνα τὰς δύο σκιρτῶν* μεγαλύνω, ἀγαθέ, παρουσίας σου.

Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου* πῶς εἰσελεύσομαι ὁ ἀνάξιος;* ἐὰν γὰρ τολμήσω* συνεισελθεῖν εἰς τὸν νυμφῶνα,* ὁ χιτών με ἐλέγχει,* ὅτι οὐκ ἔστι τοῦ γάμου* καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν ἀγγέλων·* καθάρισον, Κύριε,* τὸν ῥύπον τῆς ψυχῆς μου* καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου, μὴ εἰς κρῖμά μοι γένοιτο τὰ ἅγια ταῦτα, διὰ τὸ ἀνάξιον εἶναί με, ἀλλ' εἰς κάθαρσιν καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος καὶ εἰς ἀρραβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας. Ἐμοὶ δὲ τῷ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα τῆς σωτηρίας μου.



ΕΥΧΑΡΙΣΤΙΑ

Μετὰ τὴν θείαν μετάληψιν

Ἐπὰν δὲ τύχῃς τῆς καλῆς μετουσίας
τῶν ζωοποιῶν μυστικῶν δωρημάτων,
ὕμνησον εὐθύς, εὐχαρίστησον μέγα,
καὶ τάδε θερμῶς ἐκ ψυχῆς Θεῷ λέγε·
Δόξα σοι, ὁ Θεός. Δόξα σοι, ὁ Θεός.
Δόξα σοι, ὁ Θεός.

Ἀνωνύμου

Εὐχαριστῶ σοι, Κύριε, ὁ Θεός μου, ὅτι οὐκ ἀπώσω με τὸν ἁμαρτωλόν, ἀλλὰ κοινωνόν με γενέσθαι τῶν ἁγιασμάτων σου κατηξίωσας. Εὐχαριστῶ σοι, ὅτι με τὸν ἀνάξιον μεταλαβεῖν τῶν ἀχράντων σου καὶ ἐπουρανίων δωρεῶν κατηξίωσας. Ἀλλά, Δέσποτα φιλάνθρωπε, ὁ ὑπὲρ ἡμῶν ἀποθανών τε καὶ ἀναστὰς καὶ χαρισάμενος ἡμῖν τὰ φρικτὰ ταῦτα καὶ ζωοποιά σου μυστήρια, ἐπ' εὐεργεσίᾳ καὶ ἁγιασμῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, δὸς γενέσθαι ταῦτα κἀμοὶ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς φωτισμὸν τῶν ὀφθαλμῶν τῆς καρδίας μου, εἰς εἰρήνην τῶν ψυχικῶν μου δυνάμεων, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς προσθήκην τῆς θείας σου χάριτος καὶ τῆς σῆς βασιλείας οἰκείωσιν· ἵνα ἐν τῷ ἁγιασμῷ σου δι' αὐτῶν φυλαττόμενος, τῆς σῆς χάριτος μνημονεύω διὰ παντὸς καὶ μηκέτι ἐμαυτῷ ζῶ, ἀλλὰ σοὶ τῷ ἡμετέρῳ Δεσπότῃ καὶ εὐεργέτῃ. Καὶ οὕτω, τοῦ τῇδε βίου ἀπάρας ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, εἰς τὴν ἀΐδιον καταντήσω ἀνάπαυσιν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος καὶ ἡ

ἀπέραντος ἡδονὴ τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄρρητον. Σὺ γὰρ εἶ τὸ ὄντως ἐφετὸν καὶ ἡ ἀνέκφραστος εὐφροσύνη τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας. Ἀμήν.

Μεγάλου Βασιλείου

Δέσποτα Χριστὲ ὁ Θεός, βασιλεῦ τῶν αἰώνων καὶ δημιουργὲ τῶν ἁπάντων, εὐχαριστῶ σοι ἐπὶ πᾶσιν οἷς παρέσχου μοι ἀγαθοῖς καὶ ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων καὶ ζωοποιῶν σου μυστηρίων. Δέομαι οὖν σου, ἀγαθὲ καὶ φιλάνθρωπε, φύλαξόν με ὑπὸ τὴν σκέπην σου καὶ ἐν τῇ τῶν πτερύγων σου σκιᾷ· καὶ δώρησαί μοι, ἐν καθαρῷ συνειδότι μέχρις ἐσχάτης μου ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Σὺ γὰρ εἶ ὁ ἄρτος τῆς ζωῆς, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, ὁ δοτὴρ τῶν ἀγαθῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Συμεὼν τοῦ Μεταφραστοῦ

Ὁ δοὺς τροφήν μοι σάρκα σὴν ἑκουσίως,
ὁ πῦρ ὑπάρχων καὶ φλέγων ἀναξίους,
μὴ δὴ καταφλέξῃς με, μή, πλαστουργέ μου·
μᾶλλον δίελθε πρὸς μελῶν μου συνθέσεις,
εἰς πάντας ἁρμούς, εἰς νεφρούς, εἰς καρδίαν.

Φλέξον δ' ἀκάνθας τῶν ὅλων μου πταισμάτων·
ψυχὴν κάθαρον, ἁγίασον τὰς φρένας,
τὰς ἰγνύας στήριξον ὀστέοις ἅμα·
αἰσθήσεων φώτισον ἁπλῆν πεντάδα,
ὅλον με τῷ σῷ συγκαθήλωσον φόβῳ.

Ἀεὶ σκέπε, φρούρει τε καὶ φύλαττέ με
ἐκ παντὸς ἔργου καὶ λόγου ψυχοφθόρου.

Ἅγνιζε καὶ κάθαρε καὶ ῥύθμιζέ με·
κάλλυνε, συνέτιζε καὶ φώτιζέ με·
δεῖξόν με σὸν σκήνωμα, πνεύματος μόνου
καὶ μηκέτι σκήνωμα τῆς ἁμαρτίας·
ἵν' ὡς σὸν οἶκον, εἰσόδῳ κοινωνίας,
ὡς πῦρ με φεύγῃ πᾶς κακοῦργος, πᾶν πάθος.
Πρέσβεις φέρω σοι πάντας ἡγιασμένους,
τὰς ταξιαρχίας τε τῶν Ἀσωμάτων,
τὸν Πρόδρομόν σου, τοὺς σοφοὺς Ἀποστόλους,
πρὸς τοῖσδε σὴν ἄχραντον, ἁγνὴν Μητέρα·
ὧν τὰς λιτάς, εὔσπλαγχνε, δέξαι, Χριστέ μου,
καὶ φωτὸς παῖδα τὸν σὸν ἔργασαι λάτριν.
Σὺ γὰρ ὑπάρχεις ἁγιασμὸς καὶ μόνος
ἡμῶν, ἀγαθέ, τῶν ψυχῶν καὶ λαμπρότης,
καὶ σοὶ πρεπόντως ὡς Θεῷ καὶ Δεσπότῃ,
δόξαν ἅπαντες πέμπομεν καθ' ἡμέραν.

Ἀνωνύμου

Τὸ σῶμά σου τὸ ἅγιον, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, γένοιτό μοι εἰς ζωὴν αἰώνιον καὶ τὸ αἷμά σου τὸ τίμιον εἰς ἄφεσιν ἁμαρτιῶν. Γένοιτο δέ μοι ἡ εὐχαριστία αὕτη εἰς χαράν, ὑγείαν καὶ εὐφροσύνην· καὶ ἐν τῇ φοβερᾷ καὶ δευτέρᾳ ἐλεύσει σου ἀξίωσόν με τὸν ἁμαρτωλὸν στῆναι ἐκ δεξιῶν τῆς σῆς δόξης· πρεσβείαις τῆς παναχράντου σου Μητρὸς καὶ πάντων σου τῶν ἁγίων. Ἀμήν.

Ἀνωνύμου
εἰς τὴν Ὑπεραγίαν Θεοτόκον

Παναγία Δέσποινα Θεοτόκε, τὸ φῶς τῆς ἐσκοτισμένης μου ψυχῆς, ἡ ἐλπίς, ἡ σκέπη, ἡ καταφυγή, ἡ παραμυθία, τὸ ἀγαλλίαμά μου, εὐχαριστῶ σοι, ὅτι ἠξίωσάς με τὸν

ἀνάξιον κοινωνὸν γενέσθαι τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ Υἱοῦ σου. Ἀλλ' ἡ τεκοῦσα τὸ ἀληθινὸν φῶς, φώτισόν μου τοὺς νοητοὺς ὀφθαλμοὺς τῆς καρδίας· ἡ τὴν πηγὴν τῆς ἀθανασίας κυήσασα, ζωοποίησόν με τὸν τεθανατωμένον τῇ ἁμαρτίᾳ· ἡ τοῦ ἐλεήμονος Θεοῦ φιλεύσπλαγχνος Μήτηρ, ἐλέησόν με καὶ δὸς κατάνυξιν καὶ συντριβὴν ἐν τῇ καρδίᾳ μου καὶ ταπείνωσιν ἐν τοῖς διανοήμασί μου καὶ ἀνάκλησιν ἐν ταῖς αἰχμαλωσίαις τῶν λογισμῶν μου. Καὶ ἀξίωσόν με μέχρι τελευταίας μου ἀναπνοῆς ἀκατακρίτως ὑποδέχεσθαι τῶν ἀχράντων μυστηρίων τὸν ἁγιασμόν, εἰς ἴασιν ψυχῆς τε καὶ σώματος· καὶ παράσχου μοι δάκρυα μετανοίας καὶ ἐξομολογήσεως, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Ὅτι εὐλογημένη καὶ δεδοξασμένη ὑπάρχεις εἰς τοὺς αἰῶνας· ἀμήν (τρίς).

Ὁ Ἱερεὺς λέγει τό·

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμα σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Εἶτα τὸ Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν· καὶ ὁ Ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία· καὶ τὸ τοῦ ἁγίου Χρυσοστόμου

Ἀπολυτίκιον

Ἡ τοῦ στόματός σου * καθάπερ πυρσὸς ἐκλάμψασα χάρις * τὴν οἰκουμένην ἐφώτισεν· * ἀφιλαργυρίας τῷ κόσμῳ * θησαυροὺς ἐναπέθετο· * τὸ ὕψος ἡμῖν τῆς ταπει-

νοφροσύνης ὑπέδειξεν. * Ἀλλὰ σοῖς λόγοις παιδεύων, * πάτερ Ἰωάννη Χρυσόστομε, * πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ * σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα Πατρί. Τὸ κοντάκιον

Ἐκ τῶν οὐρανῶν * ἐδέξω τὴν θείαν χάριν * καὶ διὰ τῶν σῶν * χειλέων πάντας διδάσκεις * προσκυνεῖν τὸν ἐν Τριάδι * ἕνα Θεόν, * Ἰωάννη Χρυσόστομε, * παμμακάριστε ὅσιε, * ἐπαξίως εὐφημοῦμέν σε· * ὑπάρχεις γὰρ καθηγητής, * ὡς τὰ θεῖα σαφῶν.

Καὶ νῦν

Τῇ πρεσβείᾳ, Κύριε, * πάντων τῶν ἁγίων * καὶ τῆς Θεοτόκου, * τὴν σὴν εἰρήνην δὸς ἡμῖν * καὶ ἐλέησον ἡμᾶς, * ὡς μόνος οἰκτίρμων.

Εἶτα τὸ Κύριε, ἐλέησον (ιβ΄). Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ... Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ Ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς...

Εἶτα τὸ Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ Ἱερεὺς ποιεῖ μικρὰν ἀπόλυσιν οὕτω·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ ἁγίου (τοῦ ναοῦ), τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ τέλος τὸ Δι᾽ εὐχῶν...

ΕΟΡΤΟΛΟΓΙΟΝ

ΣΥΝΤΟΜΟΝ

Ἐπεξηγήσεις σημείων

* Ἑορτὴ ἔχουσα μεγάλην δοξολογίαν εἰς τὸν Ὄρθρον.

† Ἑορτὴ ἔχουσα τὸ Μακάριος ἀνήρ, ἀναγνώσματα καὶ εἴσοδον εἰς τὸν Ἑσπερινόν, εἰς δὲ τὸν Ὄρθρον πολυέλεον, εὐαγγέλιον καὶ μεγάλην δοξολογίαν.

[†] Μεγάλη Δεσποτικο-θεομητορικὴ ἑορτὴ ἐν ᾗ, εἰ τύχοι ἐν Κυριακῇ, ἡ ἀναστάσιμος ἀκολουθία συμψάλλεται τῇ τῆς ἑορτῆς.

(†) Μεγάλη Δεσποτικὴ ἑορτὴ ἐν ᾗ, εἰ τύχοι ἐν Κυριακῇ, καταλιμπάνεται παντελῶς ἡ ἀναστάσιμος ἀκολουθία.

Οἱ δι' ὀρθίων στοιχείων σημειούμενοι ἅγιοι ἔχουσιν ἀκολουθίαν ἐν τοῖς Μηναίοις, οἱ δὲ διὰ πλαγίων οὐχ ἔχουσιν.

- Δι' ἐρυθροῦ χρώματος σημειοῦνται αἱ Δεσποτικαὶ ἢ Θεομητορικαὶ ἑορταί, ἀναμνήσεις θαυμάτων, ἀνακομιδαί, εὑρέσεις ἢ μεταθέσεις λειψάνων, ἐγκαίνια ναῶν, συνάξεις καὶ συλλήψεις ἁγίων.
- Διὰ πλαγίων στοιχείων σημειοῦνται οἱ ἐσχάτως ἀνακηρυχθέντες ἅγιοι, ἑορταζόμενοι κατὰ τὴν ὑπὸ τοῦ Οἰκουμενικοῦ Πατριαρχείου ὁρισθεῖσαν ἡμερομηνίαν.

Πῶς μνημονεύονται εἰς τὰς ἀπολύσεις οἱ:

Προφῆται: Τοῦ ἁγίου ἐνδόξου προφήτου (δεῖνος).

Ἀπόστολοι: Τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου (δεῖνος).

Εὐαγγελισταί: Τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου καὶ εὐαγγελιστοῦ (δεῖνος).

Ἱεράρχαι: Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν (δεῖνος) ἐπισκόπου (ἢ ἀρχιεπισκόπου ἢ πατριάρχου) (δεῖνος πόλεως).

Ἱεράρχαι ὁμολογηταί: Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν (δεῖνος) ἐπισκόπου (ἢ ἀρχιεπισκόπου ἢ πατριάρχου) (δεῖνος πόλεως) τοῦ ὁμολογητοῦ.

Μάρτυρες, μεγαλομάρτυρες, ἱερομάρτυρες, ὁσιομάρτυρες ἄνδρες: Τοῦ ἁγίου ἐνδόξου μάρτυρος (ἢ μεγαλομάρτυρος ἢ ἱερομάρτυρος ἢ ὁσιομάρτυρος) (δεῖνος).

Μάρτυρες, μεγαλομάρτυρες, ὁσιομάρτυρες, παρθενομάρτυρες, ὁσιοπαρθενομάρτυρες γυναῖκες: Τῆς ἁγίας ἐνδόξου μάρτυρος (ἢ μεγαλομάρτυρος ἢ ὁσιομάρτυρος ἢ παρθενομάρτυρος ἢ ὁσιοπαρθενομάρτυρος) (δεῖνος).

Ὅσιοι: Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν (δεῖνος).

Ὅσιοι ὁμολογηταί: Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν (δεῖνος) τοῦ ὁμολογητοῦ.

Ὅσιαι: Τῆς ὁσίας μητρὸς ἡμῶν (δεῖνος).

Ἀνάργυροι: Τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων (δείνων).

Θεοπάτορες: Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων (δείνων).

Α΄. ΑΚΙΝΗΤΩΝ ΕΟΡΤΩΝ

Σεπτέμβριος

1. † Ἀρχὴ τῆς Ἰνδίκτου· Συμεὼν τοῦ στυλίτου, ὁσίου· τῶν ἁγίων τεσσαράκοντα μαρτύρων γυναικῶν καὶ Ἀμμοῦν τοῦ Διακόνου.
2. Μάμαντος μάρτυρος· Ἰωάννου πατριάρχου Κπόλεως τοῦ Νηστευτοῦ.
3. Ἀνθίμου ἐπισκόπου Νικομηδείας, ἱερομάρτυρος· Θεοκτίστου ὁσίου, συνασκητοῦ τοῦ Μ. Εὐθυμίου.
4. Βαβύλα ἐπισκόπου Ἀντιοχείας, ἱερομάρτυρος· Μωϋσέως τοῦ θεόπτου, προφήτου.
5 Ζαχαρίου τοῦ προφήτου, πατρὸς τοῦ τιμίου Προδρόμου.
6. * Ἡ ἀνάμνησις τοῦ ἐν Χώναις θαύματος τοῦ Ἀρχαγγέλου Μιχαήλ.
7. Σώζοντος μάρτυρος, *Δανιὴλ τοῦ Κατουνακιώτου, ὁσίου (ν. ἡμ.)*.
8. [†] Τὸ γενέθλιον τῆς Θεοτόκου.
9. * Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· Σεβηριανοῦ μάρτυρος.
10. Μηνοδώρας, Μητροδώρας καὶ Νυμφοδώρας τῶν μαρτύρων.
11. Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ, ὁσίας.
12. Αὐτονόμου ἱερομάρτυρος.
13. Κορνηλίου τοῦ Ἑκατοντάρχου, μάρτυρος.
14. (†) Ἡ παγκόσμιος Ὕψωσις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ.
15. Νικήτα μάρτυρος· *Βησσαρίωνος ἀρχ/που Λαρίσης· Συμεὼν ἀρχ/που Θεσ/νίκης.*
16. * Εὐφημίας τῆς πανευφήμου, μεγαλομάρτυρος.
17. Σοφίας καὶ τῶν τριῶν θυγατέρων αὐτῆς Πίστεως, Ἐλπίδος καὶ Ἀγάπης τῶν παρθένων καὶ μαρτύρων.
18. Εὐμενίου ἐπισκόπου Γορτύνης τοῦ θαυματουργοῦ, ὁσίου.
19. Τροφίμου, Σαββατίου καὶ Δορυμέδοντος τῶν μαρτύρων.
20. * Εὐσταθίου μεγαλομάρτυρος καὶ τῆς συνοδίας αὐτοῦ.
21. Κοδράτου τοῦ ἐν Μαγνησίᾳ, ἀποστόλου· *Ἰωνᾶ τοῦ προφήτου.*

22. Φωκᾶ τοῦ θαυματουργοῦ, ἱερομάρτυρος.
23. * Ἡ σύλληψις τοῦ προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου.
24. Θέκλης τῆς πρωτομάρτυρος καὶ ἰσαποστόλου· *Σιλουανοῦ τοῦ Ἀθωνίτου, ὁσίου (ν. ἡμ.).*
25. Εὐφροσύνης τῆς ὁσίας.
26. † Ἡ μετάστασις τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου.
27. Καλλιστράτου μάρτυρος καὶ τῶν σὺν αὐτῷ.
28. * Χαρίτωνος τοῦ ὁμολογητοῦ, ὁσίου.
29. Κυριακοῦ τοῦ ἀναχωρητοῦ, ὁσίου.
30. Γρηγορίου ἐπισκόπου καὶ φωτιστοῦ τῆς Μ. Ἀρμενίας, ἱερομάρτυρος.

Ὀκτώβριος

1. * Τῆς ἁγίας Σκέπης τῆς ὑπεραγίας Θεοτόκου· Ἀνανίου τοῦ ἀποστόλου· Ρωμανοῦ τοῦ μελῳδοῦ, ὁσίου.
2. Κυπριανοῦ ἱερομάρτυρος καὶ Ἰουστίνης τῆς παρθένου καὶ μάρτυρος.
3. Διονυσίου τοῦ Ἀρεοπαγίτου, ἱερομάρτυρος.
4. Ἱεροθέου ἐπισκόπου Ἀθηνῶν.
5. Χαριτίνης μάρτυρος.
6. * Θωμᾶ τοῦ ἀποστόλου.
7. Σεργίου καὶ Βάκχου τῶν μαρτύρων.
8. Πελαγίας τῆς ἀπὸ ἑταιρίδων, ὁσίας.
9. * Ἰακώβου τοῦ Ἀλφαίου, ἀποστόλου· Ἀνδρονίκου ὁσίου καὶ Ἀθανασίας τῆς συμβίας αὐτοῦ.
10. Εὐλαμπίου καὶ Εὐλαμπίας τῶν μαρτύρων.
11. Φιλίππου, ἑνὸς τῶν ἑπτὰ Διακόνων· Θεοφάνους τοῦ Γραπτοῦ, ἐπισκόπου Νικαίας, ποιητοῦ καὶ ὁμολογητοῦ· *Φιλοθέου τοῦ Κοκκίνου πατριάρχου Κ/πόλεως.*

---

† Κυριακὴ ἀπὸ 11 ἕως 17. Τῶν ἁγίων Πατέρων τῆς Ζ' Οἰκουμενικῆς Συνόδου.

---

12. Πρόβου, Ταράχου καὶ Ἀνδρονίκου τῶν μαρτύρων· *Συμεὼν τοῦ νέου Θεολόγου, ὁσίου.*

13. Κάρπου, Παπύλου, Ἀγαθοδώρου καὶ Ἀγαθονίκης τῶν μαρτύρων.
14. Ναζαρίου, Γερβασίου, Προτασίου καὶ Κελσίου τῶν μαρτύρων· Κοσμᾶ ἐπισκόπου Μαϊουμᾶ τοῦ ποιητοῦ, ὁσίου.
15. Λουκιανοῦ πρεσβυτέρου τῆς ἐν Ἀντιοχείᾳ Ἐκκλησίας, ἱερομάρτυρος· *Εὐθυμίου τοῦ νέου τῆς μονῆς Περιστερῶν, ὁσίου.*
16. Λογγίνου τοῦ Ἑκατοντάρχου, μάρτυρος.
17. Ὡσηὲ τοῦ προφήτου· Ἀνδρέου τοῦ ἐν τῇ κρίσει, ὁσιομάρτυρος.
18. * Λουκᾶ τοῦ ἀποστόλου καὶ Εὐαγγελιστοῦ.
19. Ἰωὴλ τοῦ προφήτου· Οὐάρου μάρτυρος· *Ἰωάννου Ρίλας τοῦ θαυματουργοῦ, ὁσίου.*
20. Ἀρτεμίου μεγαλομάρτυρος· *Γερασίμου τοῦ νέου τοῦ ἐν Κεφαλληνίᾳ, ὁσίου.*
21. Ἱλαρίωνος τοῦ Μεγάλου, ὁσίου.
22. Ἀβερκίου ἐπισκόπου Ἱεραπόλεως τοῦ ἰσαποστόλου καὶ θαυματουργοῦ.
23. * Ἰακώβου ἐπισκόπου Ἱεροσολύμων τοῦ Ἀδελφοθέου, ἀποστόλου.
24. Ἀρέθα μεγαλομάρτυρος καὶ τῶν σὺν αὐτῷ.
25. Μαρκιανοῦ καὶ Μαρτυρίου τῶν νοταρίων, μαρτύρων.
26. † Δημητρίου τοῦ μυροβλύτου, μεγαλομάρτυρος.
27. Νέστορος μάρτυρος.
28. Τερεντίου καὶ Νεονίλλης καὶ τῶν τέκνων αὐτῶν, μαρτύρων· Στεφάνου τοῦ Σαββαΐτου, ὁσίου.
29. Ἀναστασίας τῆς Ρωμαίας, ὁσιομάρτυρος· Ἀβραμίου καὶ Μαρίας τῆς ἀνεψιᾶς αὐτοῦ, ὁσίων.
30. Ζηνοβίου καὶ Ζηνοβίας τῶν αὐταδέλφων, μαρτύρων.
31. Στάχυος, Ἀπελλοῦ, Ἀμπλίου, Οὐρβανοῦ, Ναρκίσσου καὶ Ἀριστοβούλου τῶν ἀποστόλων· Ἐπιμάχου μάρτυρος.

Νοέμβριος

1. * Τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ· *Δαυῒδ τοῦ Γέροντος, τοῦ ἐν Εὐβοίᾳ, ὁσίου.*
2. Ἀκινδύνου, Πηγασίου, Ἀφθονίου, Ἐλπιδηφόρου καὶ Ἀνεμποδίστου τῶν μαρτύρων.

3. Ἀκεψιμᾶ, Ἰωσὴφ καὶ Ἀειθαλᾶ τῶν μαρτύρων· ἐγκαίνια τοῦ ἐν Λύδδῃ ναοῦ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου.
4. Ἰωαννικίου τοῦ Μεγάλου, ὁσίου· Νικάνδρου καὶ Ἑρμαίου τῶν ἱερομαρτύρων· *Γεωργίου τοῦ ἐν Σίψᾳ (Καρσλίδου), ὁσίου (ν. ἡμ.).*
5. Γαλακτίωνος καὶ Ἐπιστήμης, τῶν μαρτύρων.
6. Παύλου ἀρχ/που Κπόλεως τοῦ ὁμολογητοῦ.
7. Ἱέρωνος καὶ τῶν σὺν αὐτῷ ἐν Μελιτηνῇ 33 μαρτύρων· Λαζάρου τοῦ Γαλησιώτου, ὁσίου.
8. † Ἡ Σύναξις τῶν ἀρχιστρατήγων Μιχαὴλ καὶ Γαβριὴλ καὶ πασῶν τῶν ἐπουρανίων δυνάμεων Ἀσωμάτων.
9. * Νεκταρίου ἐπισκόπου Πενταπόλεως τοῦ θαυματουργοῦ· Ὀνησιφόρου καὶ Πορφυρίου τῶν μαρτύρων· Ματρώνης ὁσίας.
10. Ὀλυμπᾶ, Ῥωδίωνος, Σωσιπάτρου, Τερτίου, Ἐράστου καὶ Κουάρτου τῶν ἀποστόλων· Ὀρέστου μάρτυρος· *Ἀρσενίου τοῦ Καππαδόκου, ὁσίου (ν. ἡμ.).*
11. Μηνᾶ, Βίκτωρος καὶ Βικεντίου τῶν μαρτύρων· Θεοδώρου τοῦ Στουδίτου τοῦ ὁμολογητοῦ, ὁσίου.
12. Ἰωάννου τοῦ Ἐλεήμονος ἀρχ/που Ἀλεξανδρείας· Νείλου τοῦ Ἀσκητοῦ.
13. † Ἰωάννου ἀρχ/που Κπόλεως τοῦ Χρυσοστόμου.
14. * Φιλίππου τοῦ ἀποστόλου· *Γρηγορίου ἀρχ/που Θεσ/νίκης τοῦ Παλαμᾶ.*
15. Γουρία, Σαμωνᾶ καὶ Ἀβίβου τῶν μαρτύρων καὶ ὁμολογητῶν.
16. * Ματθαίου τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ.
17. Γρηγορίου ἐπισκόπου Νεοκαισαρείας τοῦ θαυματουργοῦ.
18. Πλάτωνος καὶ Ρωμανοῦ τῶν μαρτύρων.
19. Ἀβδιοὺ τοῦ προφήτου· Βαρλαὰμ μάρτυρος.
20. Γρηγορίου τοῦ Δεκαπολίτου, ὁσίου· Πρόκλου ἀρχ/που Κπόλεως.
21. [†] Ἡ ἐν τῷ Ναῷ εἴσοδος τῆς ὑπεραγίας Θεοτόκου.
22. Φιλήμονος τοῦ ἀποστόλου καὶ τῶν σὺν αὐτῷ· Κικιλίας μάρτυρος, *Ἰακώβου τοῦ ἐν Εὐβοίᾳ (Τσαλίκη), ὁσίου (ν. ἡμ.).*
23. Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου· Γρηγορίου ἐπισκόπου Ἀκραγαντίνων.

24. Κλήμεντος ἐπισκόπου Ρώμης καὶ Πέτρου ἐπισκόπου Ἀλεξανδρείας, τῶν ἱερομαρτύρων.
25. † Αἰκατερίνης τῆς πανσόφου καὶ Μερκουρίου τῶν μεγαλομαρτύρων.
26. Ἀλυπίου τοῦ Κιονίτου· Νίκωνος τοῦ Μετανοεῖτε· *Στυλιανοῦ τοῦ Παφλαγόνος,* τῶν ὁσίων.
27. Ἰακώβου τοῦ Πέρσου, μεγαλομάρτυρος.
28. Στεφάνου τοῦ νέου, ὁσιομάρτυρος· Εἰρηνάρχου μάρτυρος.
29. Παραμόνου καὶ Φιλουμένου τῶν μαρτύρων.
30. † Ἀνδρέου τοῦ Πρωτοκλήτου, ἀποστόλου· *Φρουμεντίου ἐπισκόπου καὶ Φωτιστοῦ Αἰθιοπίας, ὁσίου.*

Δεκέμβριος

1. Ναοὺμ τοῦ προφήτου· *Φιλαρέτου τοῦ Ἐλεήμονος, ὁσίου.*
2. Ἀββακοὺμ τοῦ προφήτου· Κυρίλλου τοῦ Φιλεώτου, ὁσίου. *Πορφυρίου τοῦ Καυσοκαλυβίτου, ὁσίου (ν. ἡμ.).*
3. Σοφονίου τοῦ προφήτου.
4. † Βαρβάρας μεγαλομάρτυρος· Ἰωάννου τοῦ Δαμασκηνοῦ, ὁσίου· *Σεραφεὶμ ἐπισκόπου Φαναρίου, ἱερομάρτυρος.*
5. † Σάββα τοῦ ἡγιασμένου, ὁσίου.
6. † Νικολάου ἐπισκόπου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ.
7. Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων, *Γερασίμου τοῦ Μικραγιαννανίτου, ὁσίου (ν. ἡμ.).*
8 Παταπίου, ὁσίου.
9. * Ἡ σύλληψις τῆς ἁγίας καὶ θεοπρομήτορος Ἄννης.
10. Μηνᾶ τοῦ Καλλικελάδου, Ἑρμογένους καὶ Εὐγράφου τῶν μαρτύρων.
11. Δανιὴλ τοῦ Στυλίτου, ὁσίου.

Κυριακὴ ἀπὸ 11 ἕως 17. Τῶν ἁγίων Προπατόρων.

---

12. † Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος τοῦ θαυματουργοῦ.
13. Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου καὶ Ὀρέστου τῶν μαρτύρων· Λουκίας τῆς παρθένου, μάρτυρος.
14. Θύρσου, Λευκίου, Καλλινίκου, Φιλήμονος, Ἀπολλωνίου, Ἀρριανοῦ καὶ τῶν σὺν αὐτοῖς μαρτύρων.

15. * Ἐλευθερίου ἱερομάρτυρος.
16. Ἀγγαίου τοῦ προφήτου· *Μοδέστου ἀρχ/που Ἱεροσολύμων τοῦ θαυματουργοῦ· Θεοφανοῦς τῆς βασιλίσσης καὶ θαυματουργοῦ.*
17. Δανιὴλ τοῦ προφήτου καὶ τῶν τριῶν Παίδων Ἀνανίου, Ἀζαρίου καὶ Μισαήλ· Διονυσίου ἀρχ/που Αἰγίνης τοῦ ἐν Ζακύνθῳ.
18. Σεβαστιανοῦ μάρτυρος καὶ τῶν σὺν αὐτῷ.

Κυριακὴ πρὸ τῆς Χριστοῦ γεννήσεως: ἀπό 18 ἕως 24.
Πάντων τῶν ἀπ' αἰῶνος Θεῷ εὐαρεστησάντων, ἀπὸ Ἀδὰμ ἄχρι καὶ Ἰωσὴφ τοῦ Μνήστορος, τῶν Προφητῶν καὶ Προφητίδων.

19. Βονιφατίου μάρτυρος.
20. * Ἰγνατίου τοῦ Θεοφόρου, ἱερομάρτυρος.
21. Ἰουλιανῆς τῆς ἐν Νικομηδείᾳ, μάρτυρος.
22. Ἀναστασίας τῆς φαρμακολυτρίας, μεγαλομάρτυρος.
23. Τῶν ἐν Κρήτῃ δέκα μαρτύρων.
24. Εὐγενίας ὁσιομάρτυρος.
25. ✝ Ἡ κατὰ σάρκα Γέννησις τοῦ Χριστοῦ.
26. * Ἡ Σύναξις τῆς ὑπεραγίας Θεοτόκου· Εὐθυμίου ἐπισκόπου Σάρδεων τοῦ ὁμολογητοῦ.

* Κυριακὴ μετὰ τὴν Χριστοῦ Γέννησιν. Τῶν ἁγίων καὶ δικαίων Ἰωσὴφ τοῦ Μνήστορος, Δαυῒδ τοῦ Βασιλέως καὶ Ἰακώβου τοῦ Ἀδελφοθέου.

27. * Στεφάνου τοῦ πρωτομάρτυρος καὶ ἀρχιδιακόνου· Θεοδώρου τοῦ Γραπτοῦ, ὁμολογητοῦ καὶ ὁσίου.
28. Τῶν ἁγίων δισμυρίων μαρτύρων τῶν ἐν Νικομηδείᾳ καέντων·*Σίμωνος τοῦ μυροβλύτου τοῦ ἐν Ἄθῳ, ὁσίου.*
29. Τῶν ἁγίων ιδ´ χιλιάδων Νηπίων τῶν ὑπὸ Ἡρῴδου ἀναιρεθέντων· Μαρκέλλου ἡγουμένου τῆς μονῆς τῶν Ἀκοιμήτων, ὁσίου.
30. Ἀνυσίας τῆς ἐν Θεσσαλονίκῃ, ὁσιομάρτυρος.
31. Μελάνης τῆς Ρωμαίας, ὁσίας.

Ἰανουάριος

1. † Ἡ κατά σάρκα Περιτομὴ τοῦ Χριστοῦ· Βασιλείου ἀρχ/που Καισαρείας Καππαδοκίας, οὐρανοφάντορος τοῦ Μεγάλου.
2. Σιλβέστρου πάπα Ρώμης· Σεραφεὶμ τοῦ Σάρωφ, δσίου.
3. Μαλαχίου τοῦ προφήτου· Γορδίου μάρτυρος.
4. Ἡ Σύναξις τῶν ἑβδομήκοντα Ἀποστόλων· Θεοκτίστου δσίου, *Νικηφόρου τοῦ λεπροῦ, δσίου (ν. ἡμ.).*
5. Θεοπέμπτου καὶ Θεωνᾶ τῶν μαρτύρων· Συγκλητικῆς δσίας.
6. (†) Τὰ ἅγια Θεοφάνεια τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.
7. * Ἡ Σύναξις τοῦ προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου.
8. Γεωργίου τοῦ Χοζεβίτου, δσίου· Δομνίκης τῆς δσίας.
9. Πολυεύκτου μάρτυρος.
10. Γρηγορίου ἐπισκόπου Νύσσης· Δομετιανοῦ ἐπισκόπου Μελιτηνῆς.
11. † Θεοδοσίου τοῦ Κοινοβιάρχου, δσίου.
12. Τατιανῆς μάρτυρος.
13. Ἑρμύλου καὶ Στρατονίκου τῶν μαρτύρων· *Μαξίμου τοῦ Καυσοκαλύβη, δσίου.*
14. Τῶν ἐν Σινᾷ καὶ Ραϊθῷ ἀναιρεθέντων δσίων Πατέρων· *Σάββα ἀρχ/που Σερβίας· Νίνας τῆς ἰσαποστόλου καὶ φωτιστρίας τῆς Γεωργίας.*
15. Παύλου τοῦ Θηβαίου· Ἰωάννου τοῦ Καλυβίτου, τῶν δσίων.
16. * Ἡ προσκύνησις τῆς ἁλύσεως τοῦ ἀποστόλου Πέτρου.
17. † Ἀντωνίου τοῦ Μεγάλου, δσίου· *Γεωργίου τοῦ ἐν Ἰωαννίνοις, νεομάρτυρος· Ἀντωνίου τοῦ νέου, τοῦ ἐν Βερροίᾳ δσίου.*
18. † Ἀθανασίου καὶ Κυρίλλου ἀρχ/πων Ἀλεξανδρείας, *Χριστοφόρου τοῦ Παπουλάκου, δσίου (ν. ἡμ.).*
19. Μακαρίου τοῦ Αἰγυπτίου καὶ Μακαρίου τοῦ Ἀλεξανδρέως, τῶν δσίων· *Μάρκου ἐπισκόπου Ἐφέσου τοῦ Εὐγενικοῦ, ὁμολογητοῦ.*
20. † Εὐθυμίου τοῦ Μεγάλου, δσίου.
21. Μαξίμου τοῦ ὁμολογητοῦ, δσίου· Νεοφύτου μάρτυρος.

22. Τιμοθέου τοῦ ἀποστόλου· Ἀναστασίου τοῦ Πέρσου, ὁσιομάρτυρος, *Βησσαρίωνος τοῦ Ἀγαθωνίτου, ὁσίου (ν. ἡμ.).*
23. Κλήμεντος ἐπισκόπου Ἀγκύρας, ἱερομάρτυρος· Ἀγαθαγγέλου μάρτυρος· *Διονυσίου τοῦ ἐν Ὀλύμπῳ, ὁσίου.*
24. Ξένης τῆς ὁσίας· *Νεοφύτου τοῦ Ἐγκλείστου, ὁσίου.*
25. † Γρηγορίου ἀρχ/που Κπόλεως τοῦ Θεολόγου.
26. Ξενοφῶντος τοῦ ὁσίου καὶ τῆς συνοδίας αὐτοῦ.
27. † Ἡ ἀνακομιδὴ τοῦ λειψάνου Ἰωάννου τοῦ Χρυσοστόμου.
28. Ἐφραὶμ τοῦ Σύρου, ὁσίου.
29. Ἡ ἀνακομιδὴ τῶν λειψάνων Ἰγνατίου τοῦ Θεοφόρου, ἱερομάρτυρος.
30. † Τῶν τριῶν ἱεραρχῶν Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἱππολύτου πάπα Ῥώμης, ἱερομάρτυρος.
31. * Κύρου καὶ Ἰωάννου τῶν θαυματουργῶν ἀναργύρων.

Φεβρουάριος

1. Τρύφωνος μάρτυρος.
2. [†] Ἡ Ὑπαπαντὴ τοῦ Χριστοῦ.
3. * Τοῦ ἁγίου καὶ δικαίου Συμεὼν τοῦ Θεοδόχου καὶ Ἄννης τῆς προφήτιδος.
4. Ἰσιδώρου τοῦ Πηλουσιώτου, ὁσίου.
5. Ἀγάθης μάρτυρος.
6. Βουκόλου ἐπισκόπου Σμύρνης, ὁσίου· *Φωτίου πατριάρχου Κπόλεως τοῦ Μεγάλου.*
7. Παρθενίου ἐπισκόπου Λαμψάκου, ὁσίου· Λουκᾶ τοῦ ἐν τῷ Στειρίῳ, ὁσίου.
8. Θεοδώρου τοῦ στρατηλάτου, μεγαλομάρτυρος· Ζαχαρίου τοῦ προφήτου.
9. Νικηφόρου μάρτυρος.
10. † Χαραλάμπους τοῦ θαυματουργοῦ, ἱερομάρτυρος.
11. Βλασίου ἀρχ/που Σεβαστείας, ἱερομάρτυρος· *Θεοδώρας τῆς Αὐγούστης, ἁγίας.*
12. Μελετίου ἀρχ/που Ἀντιοχείας.
13. Μαρτινιανοῦ τοῦ ὁσίου.

14. Αὐξεντίου τοῦ ἐν τῷ Βουνῷ, ὁσίου.
15. Ὀνησίμου τοῦ ἀποστόλου.
16. Παμφίλου μάρτυρος καὶ τῶν σὺν αὐτῷ· *Φλαβιανοῦ πατριάρχου Κπόλεως.*
17. Θεοδώρου τοῦ τήρωνος, μεγαλομάρτυρος· *Μαρκιανοῦ καὶ Πουλχερίας τῶν βασιλέων.*
18. Λέοντος πάπα Ρώμης.
19. Ἀρχίππου τοῦ ἀποστόλου· *Φιλοθέης τῆς Ἀθηναίας, ὁσιομάρτυρος.*
20. Λέοντος, ἐπισκόπου Κατάνης.
21. Τιμοθέου τοῦ ἐν Συμβόλοις, ὁσίου· *Εὐσταθίου ἐπισκόπου Ἀντοχείας.*
22. Ἡ εὕρεσις τῶν λειψάνων, τῶν ἐν τοῖς Εὐγενίου μαρτύρων.
23. Πολυκάρπου ἐπισκόπου Σμύρνης, ἱερομάρτυρος· *Γοργονίας τῆς ἁγίας, ἀδελφῆς Γρηγορίου τοῦ Θεολόγου.*
24. † Ἡ α΄ καί β΄ εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου.
25. Ταρασίου ἀρχ/που Κπόλεως· *Ρηγίνου ἐπισκόπου Σκοπέλου, ἱερομάρτυρος.*
26. Πορφυρίου ἐπισκόπου Γάζης· *Φωτεινῆς τῆς Σαμαρείτιδος, μάρτυρος καὶ τῶν σὺν αὐτῇ.*
27. Προκοπίου τοῦ Δεκαπολίτου, ὁμολογητοῦ καί ὁσίου, *Ἐφραὶμ τοῦ Κατουνακιώτου, ὁσίου (ν. ἡμ.).*
28. Βασιλείου τοῦ ὁμολογητοῦ, ὁσίου.
29. Κασσιανοῦ τοῦ Ῥωμαίου, ὁμολογητοῦ καὶ ὁσίου.

Μάρτιος

1. Εὐδοκίας τῆς ἀπό Σαμαρειτῶν, ὁσιομάρτυρος.
2. Ἡσυχίου τοῦ Συγκλητικοῦ, μάρτυρος.
3. Εὐτροπίου, Κλεονίκου καὶ Βασιλίσκου τῶν μαρτύρων.
4. Γερασίμου τοῦ Ἰορδανίτου, ὁσίου.
5. Κόνωνος τοῦ ἐν Ἰσαυρίᾳ, ὁσιομάρτυρος.
Νικολάου ἐπσκόπου Ἀχρίδος (Βελιμίροβιτς), (ν. ἡμ.).
6. Τῶν ἐν Ἀμορίῳ τεσσαράκοντα δύο μαρτύρων.
7. Βασιλέως, Ἐφραίμ, Εὐγενίου, Ἀγαθοδώρου, Ἐλπιδίου,

Καπίτωνος καὶ Αἰθερίου τῶν ἐν Χερσῶνι ἐπισκοπησάντων, ἱερομαρτύρων· *Παύλου τοῦ Ἁπλοῦ, ὁσίου.*

8. Θεοφυλάκτου ἐπισκόπου Νικομηδείας ὁμολογητοῦ, ὁσίου.

9. † Τῶν τεσσαράκοντα μεγάλων μαρτύρων τῶν ἐν τῇ λίμνῃ Σεβαστείας μαρτυρησάντων.

10. Κοδράτου τοῦ ἐν Κορίνθῳ, μάρτυρος καὶ τῶν σὺν αὐτῷ.

11. Σωφρονίου πατριάρχου Ἱεροσολύμων.

12. Θεοφάνους τῆς Σιγριανῆς τοῦ ὁμολογητοῦ, ὁσίου· *Γρηγορίου πάπα Ρώμης τοῦ Διαλόγου.*

13. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου Νικηφόρου πατριάρχου Κπόλεως.

14. Βενεδίκτου τοῦ ἐκ Νουρσίας, ὁσίου.

15. Ἀγαπίου μάρτυρος καὶ τῶν σὺν αὐτῷ.

16. Σαβίνου τοῦ Αἰγυπτίου, μάρτυρος· *Χριστοδούλου τοῦ ἐν Πάτμῳ, ὁσίου.*

17. Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ, ὁσίου.

18. Κυρίλλου ἀρχ/που Ἱεροσολύμων.

19. Χρυσάνθου καὶ Δαρείας τῶν μαρτύρων.

20. Τῶν ἐν τῇ μονῇ τοῦ ἁγίου Σάββα ἀναιρεθέντων ὁσίων Πατέρων.

21. Ἰακώβου ἐπισκόπου, ὁμολογητοῦ καὶ ὁσίου.

22. Βασιλείου πρεσβυτέρου τῆς Ἀγκυρανῶν Ἐκκλησίας, ἱερομάρτυρος.

23. Νίκωνος ἱερομάρτυρος καὶ τῶν σὺν αὐτῷ 199 μαθητῶν.

24. Ἀρτέμονος ἐπισκόπου Σελευκείας, ὁσίου.

25. [†] Ὁ Εὐαγγελισμὸς τῆς ὑπεραγίας Θεοτόκου.

26. * Ἡ Σύναξις τοῦ Ἀρχαγγέλου Γαβριήλ.

27. Ματρώνης τῆς ἐν Θεσσαλονίκῃ, μάρτυρος.

28. Ἱλαρίωνος τοῦ νέου, ἡγουμένου μονῆς τῆς Πελεκητῆς, ὁσίου, *Γαβριηλίας τῆς ἐν Λέρῳ (Παπαγιάννη), ὁσίας (ν. ἡμ.).*

29. Μάρκου ἐπισκόπου Ἀρεθουσίων, Κυρίλλου διακόνου· Ἰωνᾶ καὶ Βαραχησίου καὶ τῶν σὺν αὐτοῖς, μαρτύρων.

30. Ἰωάννου τοῦ Σιναΐτου, συγγραφέως τῆς Κλίμακος, ὁσίου.

31. Ὑπατίου ἐπισκόπου Γαγγρῶν, ἱερομάρτυρος.

Ἀπρίλιος

1. Μαρίας τῆς Αἰγυπτίας, ὁσίας.
2. Τίτου τοῦ θαυματουργοῦ, ὁσίου.
3. Νικήτα ἡγουμένου τῆς μονῆς τοῦ Μηδικίου τοῦ ὁμολογητοῦ, ὁσίου· Ἰωσὴφ τοῦ ὑμνογράφου, ὁσίου.
4. Γεωργίου τοῦ ἐν τῷ Μαλαιῷ, ὁσίου· *Θεωνᾶ ἐπισκόπου Θεσσαλονίκης, ὁσίου.*
5. Κλαυδιανοῦ, Διοδώρου καὶ τῶν σὺν αὐτῷ πέντε μαρτύρων· *Θεοδώρας τῆς ἐν Θεσσαλονίκῃ, ὁσίας.*
6. Εὐτυχίου πατριάρχου Κπόλεως· *Γρηγορίου τοῦ Σιναΐτου, ὁσ.*
7. Καλλιοπίου μάρτυρος· Γεωργίου ἐπισκόπου Μυτιλήνης, τοῦ σημειοφόρου, ὁσίου.
8. Ἀγάβου, Ῥούφου, Ἀσυγκρίτου, Φλέγοντος καὶ Ἑρμοῦ ἐκ τῶν ἑβδομήκοντα ἀποστόλων.
9. Εὐψυχίου τοῦ ἐν Καισαρείᾳ, μάρτυρος· *Ραφαήλ, Νικολάου καὶ Εἰρήνης τῶν ἐν Λέσβῳ νεοφανῶν νεομαρτύρων.*
10. Τερεντίου, Πομπηΐου, Μαξίμου, Ἀφρικανοῦ καὶ τῶν σὺν αὐτοῖς, μαρτύρων· *Γρηγορίου τοῦ Ε΄ Πατριάρχου Κπόλεως, ἱερομάρτυρος.*
11. Ἀντίπα ἐπισκόπου Περγάμου, ἱερομάρτυρος.
12. Βασιλείου ἐπισκόπου Παρίου τοῦ ὁμολογητοῦ, ὁσίου.
13. Μαρτίνου πάπα Ρώμης.
14. Ἀριστάρχου, Πούδη καὶ Τροφίμου ἐκ τῶν ἑβδομήκοντα ἀποστόλων.
15. Κρήσκεντος μάρτυρος.
16. Ἀγάπης, Εἰρήνης καὶ Χιονίας τῶν παρθένων καὶ αὐταδέλφων, μαρτύρων, *Ἀμφιλοχίου τοῦ ἐν Πάτμῳ, ὁσίου (ν. ἡμ.).*
17. Συμεὼν ἐπισκόπου Περσίδος, ἱερομάρτυρος καὶ τῶν σὺν αὐτῷ· *Μακαρίου ἀρχ/που Κορίνθου τοῦ Νοταρᾶ.*
18. Ἰωάννου τοῦ ὁσίου, μαθητοῦ Γρηγορίου τοῦ Δεκαπολίτου.
19. Παφνουτίου τοῦ Ἱεροσολυμίτου, ἱερομάρτυρος· *Θεοδώρου τοῦ ἐν Πέργῃ, μάρτυρος· Συμεὼν τοῦ μονοχίτωνος καὶ ἀνυποδήτου, ὁσίου.*

20. Θεοδώρου τοῦ Τριχινᾶ, ὁσίου· *Ἀθανασίου καὶ Ἰωάσαφ κτιτόρων τῆς μονῆς τοῦ Μετεώρου, ὁσίων.*
21. Ἰανουαρίου ἐπισκόπου καὶ τῶν σὺν αὐτῷ, ἱερομαρτύρων· *Ἀναστασίου τοῦ Σιναΐτου, ὁσίου.*
22. Θεοδώρου τοῦ Συκεώτου, ἐπισκόπου Ἀναστασιουπόλεως, ὁσ.
23. † Γεωργίου τοῦ Τροπαιοφόρου, μεγαλομάρτυρος.
24. Ἐλισάβετ τῆς θαυματουργοῦ, ὁσίας.
25. * Μάρκου τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ.
26. Βασιλέως ἐπισκόπου Ἀμασείας, ἱερομάρτυρος.
27. Συμεὼν ἐπισκόπου Ἱεροσολύμων, ἱερομάρτυρος.
28. Τῶν ἐν Κυζίκῳ ἐννέα μαρτύρων· Μέμνονος τοῦ θαυματουργοῦ, ὁσίου.
29. Ἰάσωνος καὶ Σωσιπάτρου τῶν ἀποστόλων.
30. * Ἰακώβου τοῦ ἀποστόλου, ἀδελφοῦ Ἰωάννου τοῦ Θεολόγου.

Μάϊος

1. Ἱερεμίου τοῦ προφήτου.
2. * Ἡ ἀνακομιδὴ τοῦ λειψάνου Ἀθανασίου τοῦ Μεγάλου, πατριάρχου Ἀλεξανδρείας.
3. Τιμοθέου καὶ Μαύρας τῶν μαρτύρων.
4. Πελαγίας τῆς ἀπὸ Ταρσοῦ, μάρτυρος.
5. Εἰρήνης μεγαλομάρτυρος.
6. Τοῦ ἁγίου καὶ δικαίου Ἰὼβ τοῦ πολυάθλου· *Σεραφεὶμ τοῦ ἐν τῷ ὄρει Δομβοῦς, ὁσ., Σοφίας τῆς Κλεισούρας, ὁσ. (ν. ἡμ.).*
7. Ἡ ἀνάμνησις τοῦ ἐν οὐρανῷ τῆς Ἱερουσαλὴμ φανέντος σημείου τοῦ τιμίου Σταυροῦ· *Ἀκακίου καὶ Κοδράτου τῶν μαρτύρων.*
8. † Ἰωάννου τοῦ Θεολόγου, ἀποστόλου καὶ εὐαγγελιστοῦ· Ἀρσενίου τοῦ Μεγάλου, ὁσίου.
9. Ἡσαΐου τοῦ προφήτου· Χριστοφόρου μάρτυρος, *Ἱερωνύμου τοῦ Σιμωνοπετρίτου, ὁσίου.*
10. * Σίμωνος τοῦ Ζηλωτοῦ, ἀποστόλου.
11. Μωκίου ἱερομάρτυρος· *Κυρίλλου καὶ Μεθοδίου τῶν ἐκ Θεσσαλονίκης ἰσαποστόλων καὶ φωτιστῶν τῶν Σλαύων.*

12. Ἐπιφανίου ἐπισκόπου Κωνσταντίας τῆς Κύπρου· Γερμανοῦ ἀρχ/που Κπόλεως.
13. Γλυκερίας μάρτυρος.
14. Ἰσιδώρου τοῦ ἐν Χίῳ, μάρτυρος.
15. Παχωμίου τοῦ Μεγάλου, ὁσίου· *Ἀχιλλίου ἀρχ/που Λαρίσης, ὁσίου.*
16. Θεοδώρου τοῦ ἡγιασμένου, ὁσίου.
17. Ἀνδρονίκου καὶ Ἰουνίας τῶν ἀποστόλων.
18. Πέτρου, Διονυσίου, Χριστίνης τῆς παρθένου καὶ τῶν σὺν αὐτοῖς μαρτύρων.
19. Πατρικίου ἐπισκόπου Προύσης, ἱερομάρτυρος καὶ τῶν σὺν αὐτῷ.
20. Θαλλελαίου μάρτυρος· ἡ ἀνα-μετακομιδὴ τοῦ λειψάνου Νικολάου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ.
21. † Κωνσταντίνου καὶ Ἑλένης τῶν θεοστέπτων μεγάλων βασιλέων καὶ ἰσαποστόλων.
22. Βασιλίσκου μάρτυρος.
23. Μιχαὴλ ἐπισκόπου Συνάδων τοῦ ὁμολογητοῦ, ὁσίου, *Εὐμενίου τοῦ νέου, (Σαριδάκη), ὁσίου* (ν. ἡμ.).
24. Συμεὼν τοῦ ἐν τῷ θαυμαστῷ ὄρει, ὁσίου.
25. † Ἡ γ΄ εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου.
26. Κάρπου τοῦ ἀποστόλου.
27. Ἑλλαδίου ἱερομάρτυρος· *Ἰωάννου τοῦ Ῥώσου τοῦ νέου ὁμολογητοῦ, ὁσίου.*
28. Εὐτυχοῦς ἐπισκόπου Μελιτηνῆς, ἱερομάρτυρος.
29. Θεοδοσίας τῆς παρθένου, μάρτυρος.
30. Ἰσαακίου ἡγουμένου τῆς μονῆς τῶν Δαλμάτων τοῦ ὁμολογητοῦ, ὁσίου.
31. Ἑρμείου μάρτυρος.

Ἰούνιος

1. Ἰουστίνου τοῦ Φιλοσόφου μάρτυρος καὶ τῶν σὺν αὐτῷ, *Ἰουστίνου Πόποβιτς, ὁσίου.*
2. Νικηφόρου πατριάρχου Κπόλεως τοῦ ὁμολογητοῦ.
3. Λουκιλλιανοῦ μάρτυρος καὶ τῶν σὺν αὐτῷ.
4. † Μητροφάνους ἀρχ/που Κπόλεως.

5. Δωροθέου ἐπισκόπου Τύρου, ἱερομάρτυρος.
6. Ἱλαρίωνος τοῦ νέου, ἡγουμένου τῆς μονῆς τῶν Δαλμάτων, ὁσίου.
7. Θεοδότου τοῦ ἐν Ἀγκύρᾳ, ἱερομάρτυρος.
8. * Ἡ ἀνακομιδὴ τοῦ λειψάνου Θεοδώρου τοῦ στρατηλάτου, μεγαλομάρτυρος.
9. Κυρίλλου ἀρχ/που Ἀλεξανδρείας.
10. Ἀλεξάνδρου καὶ Ἀντωνίνης τῶν μαρτύρων.
11. * Βαρθολομαίου καὶ Βαρνάβα τῶν ἀποστόλων· Ἡ Σύναξις ἀρχαγγέλλου Γαβριὴλ ἐν τῷ Ἄδειν (Ἄξιόν ἐστιν)· *Λουκᾶ τοῦ ἰατροῦ, ἐπισκόπου Συμφερουπόλεως* (ν. ἡμ.).
12. Ὀνουφρίου τοῦ Αἰγυπτίου· Πέτρου τοῦ ἐν τῷ Ἄθῳ, ὁσίων.
13. Ἀκυλίνης μάρτυρος.
14. Ἐλισαίου τοῦ προφήτου· Μεθοδίου πατριάρχου Κπόλεως τοῦ ὁμολογητοῦ·
15. Ἀμὼς τοῦ προφήτου· *Ἱερωνύμου ὁσίου· Αὐγουστίνου ἐπισκόπου Ἱππῶνος.*
16. Τύχωνος ἐπισκόπου Ἀμαθοῦντος Κύπρου.
17. Ἰσαύρου διακόνου, μάρτυρος καὶ τῶν σὺν αὐτῷ· Μανουήλ, Σαβὲλ καὶ Ἰσμαὴλ τῶν μαρτύρων.
18. Λεοντίου μάρτυρος καὶ τῶν σὺν αὐτῷ.
19. Ἰούδα τοῦ ἀποστόλου· Παϊσίου τοῦ Μεγάλου, ὁσίου.
20. Μεθοδίου ἐπισκόπου Πατάρων, ἱερομάρτυρος· *Νικολάου τοῦ Καβάσιλα, ὁσίου.*
21. Ἰουλιανοῦ τοῦ Ταρσέως, μάρτυρος.
22. Εὐσεβίου ἐπισκόπου Σαμοσάτων, ἱερομάρτυρος.
23. Ἀγριππίνης τῆς παρθενομάρτυρος.
24. † Τὸ Γενέθλιον τοῦ προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου.
25. Φεβρωνίας τῆς πολυάθλου, ὁσιομάρτυρος.
26. Δαυῒδ τοῦ ἐν Θεσσαλονίκῃ, ὁσίου.
27. Σαμψὼν τοῦ Ξενοδόχου, ὁσίου.
28. Ἡ ἀνακομιδὴ τῶν λειψάνων Κύρου καὶ Ἰωάννου τῶν θαυματουργῶν ἀναργύρων.
29. † Πέτρου καὶ Παύλου τῶν πρωτοκορυφαίων ἀποστόλων.
30. * Ἡ Σύναξις τῶν δώδεκα ἀποστόλων, *Γερβασίου τοῦ ἐν Πάτραις, (Παρασκευοπούλου), ὁσίου* (ν. ἡμ.).

Ἰούλιος

1. † Κοσμᾶ καὶ Δαμιανοῦ τῶν θαυματουργῶν ἀναργύρων.
2. * Ἡ κατάθεσις τῆς τιμίας Ἐσθῆτος τῆς Θεοτόκου, ἐν Βλαχέρναις.
3. Ὑακίνθου τοῦ Κουβικουλαρίου, μάρτυρος.
4. Ἀνδρέου ἀρχ/που Κρήτης τοῦ Ἱεροσολυμίτου.
5. * Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ, ὁσίου· Λαμπαδοῦ τοῦ θαυματουργοῦ, ὁσίου.
6. Σισώη τοῦ Μεγάλου, ὁσίου.
7. Θωμᾶ τοῦ ἐν τῷ Μαλαιῷ, ὁσίου· Κυριακῆς μεγαλομάρτυρος.
8. Προκοπίου μεγαλομάρτυρος.
9. Παγκρατίου ἐπισκόπου Ταυρομενίας, ἱερομάρτυρος.
10. Τῶν τεσσαράκοντα καὶ πέντε μαρτύρων τῶν ἐν Νικοπόλει τῆς Ἀρμενίας.
11. † Εὐφημίας τῆς πανευφήμου, μεγαλομάρτυρος· *Ὄλγας τῆς βασιλίσσης καὶ ἰσαποστόλου, Σωφρονίου τοῦ ἐν Ἔσσεξ, ὁσίου (ν.ἡ).*
12. Πρόκλου καὶ Ἱλαρίου τῶν μαρτύρων· *Μιχαὴλ τοῦ Μαλεΐνου, ὁσίου, Παϊσίου τοῦ Ἁγιορείτου, ὁσίου (ν.ἡ.).*
13. Ἡ Σύναξις τοῦ ἀρχαγγέλλου Γαβριήλ· Γολινδοὺχ τῆς μάρτυρος.

---

† Κυριακὴ ἀπὸ 13 ἕως καὶ 19. Τῶν ἁγίων 630 θεοφόρων πατέρων τῆς ἐν Χαλκηδόνι Δ´ Οἰκουμενικῆς Συνόδου.

---

14. Ἀκύλα τοῦ ἀποστόλου· *Ἰωσὴφ ἀρχ/που Θεσ/νίκης τοῦ ὁμολογητοῦ· Νικοδήμου τοῦ Ἁγιορείτου, ὁσίου.*
15. Κηρύκου καὶ Ἰουλίττης τῶν μαρτύρων· *Βλαδιμήρου τοῦ ἰσαποστόλου καὶ ἡγεμόνος Κιέβου.*
16. Ἀθηνογένους ἐπισκόπου Πηδαχθόης, ἱερομάρτυρος.
17. * Μαρίνης μεγαλομάρτυρος.
18. Αἰμιλιανοῦ μάρτυρος.
19. Μακρίνης, ἀδελφῆς τοῦ Μ. Βασιλείου, ὁσίας· Δίου, ὁσίου.
20. † Ἠλιοὺ τοῦ Θεσβίτου, προφήτου.
21. Ἰωάννου καὶ Συμεὼν τοῦ διὰ Χριστὸν σαλοῦ, ὁσίων.
22. Μαρίας τῆς Μαγδαληνῆς τῆς μυροφόρου καὶ ἰσαποστόλου.

23. Φωκᾶ ἱερομάρτυρος· *Ἰεζεκιὴλ τοῦ προφήτου.*
24. Χριστίνης μεγαλομάρτυρος.
25. † Κοίμησις τῆς ἁγίας θεοπρομήτορος Ἄννης· *Ὀλυμπιάδος τῆς διακόνου, ὁσίας.*
26. Παρασκευῆς ὁσιομάρτυρος· Ἑρμολάου ἱερομάρτυρος καὶ τῶν σὺν αὐτῷ.
27. † Παντελεήμονος τοῦ ἰαματικοῦ, μεγαλομάρτυρος.
28. Προχόρου, Νικάνορος, Τίμωνος καὶ Παρμενᾶ τῶν ἀποστόλων καὶ διακόνων· *Παύλου τοῦ Ξηροποταμηνοῦ, ὁσίου, Εἰρήνης τῆς Χρυσοβαλάντου, ὁσίας.*
29. Καλλινίκου καὶ Θεοδότης τῶν μαρτύρων.
30. Σίλα, Σιλουανοῦ, Κρήσκεντος, Ἐπαινετοῦ καὶ Ἀνδρονίκου τῶν ἀποστόλων.
31. Εὐδοκίμου τοῦ δικαίου, ἁγίου.

Αὔγουστος

1. * Ἡ πρόοδος τοῦ τιμίου Σταυροῦ· τῶν ἁγίων ἑπτὰ μαρτύρων Μακκαβαίων παίδων, τῆς μητρὸς αὐτῶν Σολομονῆς καὶ τοῦ διδασκάλου αὐτῶν Ἐλεαζάρου.
2. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου.
3. Ἰσαακίου, Δαλμάτου καὶ Φαύστου τῶν ὁσίων.
4. Τῶν ἐν Ἐφέσῳ ἁγίων ἑπτὰ παίδων.
5. Εὐσιγνίου μάρτυρος.
6. (†) Ἡ μεταμόρφωσις τοῦ Σωτῆρος Χριστοῦ.
7. Δομετίου τοῦ Πέρσου, ὁσιομάρτυρος· *Νικάνορος τοῦ ἐν τῷ Καλλιστράτῳ ὄρει, ὁσίου.*
8. Αἰμιλιανοῦ ἐπισκόπου Κυζίκου τοῦ ὁμολογητοῦ, ὁσίου· *Μύρωνος ἐπισκόπου Κρήτης τοῦ θαυματουργοῦ, Καλλινίκου Ἐπισκόπου Ἐδέσσης (ν.ἡ.).*
9. Ματθίου τοῦ ἀποστόλου.
10. Λαυρεντίου τοῦ ἀρχιδιακόνου, μάρτυρος.
11. Εὔπλου τοῦ διακόνου, μάρτυρος· *Νήφωνος πατριάρχου Κπόλεως τοῦ ἐν τῷ Ἄθῳ, ὁσίου.*
12. Φωτίου καὶ Ἀνικήτου τῶν μαρτύρων.
13. Ἡ μετάθεσις τοῦ λειψάνου Μαξίμου τοῦ ὁμολογητοῦ, ὁσίου.

14. Μιχαίου τοῦ προφήτου.

15. ☩ Ἡ σεβασμία μετάστασις τῆς ὑπεραγίας Θεοτόκου.

16. Διομήδους μάρτυρος· ἡ ἀνακομιδὴ τῆς ἀχειροποιήτου εἰκόνος τοῦ Χριστοῦ ἤτοι τοῦ ἁγίου Μανδηλίου· *Τιμοθέου ἀρχ/που Εὐρίπου, ὁσίου, Ἰωσὴφ τοῦ ἡσυχαστοῦ, ὁσίου (ν.ἡ.).*

17. Μύρωνος μάρτυρος, *Ἀθανασίου τοῦ ἐν Ἀμαρουσίῳ (Χαμακιώτου), ὁσίου (ν. ἡμ.).*

18. Φλώρου καὶ Λαύρου τῶν μαρτύρων· *Ἀρσενίου τοῦ νέου τοῦ ἐν Πάρῳ, ὁσίου.*

19. Ἀνδρέου τοῦ στρατηλάτου, μεγαλομάρτυρος καὶ τῶν σὺν αὐτῷ.

20. Σαμουὴλ τοῦ προφήτου.

21. Θαδδαίου τοῦ ἀποστόλου· Βάσσης μάρτυρος.

22. Ἀγαθονίκου μάρτυρος καὶ τῶν σὺν αὐτῷ.

23. Λούππου μάρτυρος· *Εἰρηναίου ἐπισκόπου Λουγδούνων, ἱερομάρτυρος.*

24. Εὐτυχοῦς ἱερομάρτυρος· *Κοσμᾶ τοῦ Αἰτωλοῦ τοῦ ἰσαποστόλου καὶ ἱερομάρτυρος.*

25. Τίτου ἐπισκόπου Γορτύνης· μνήμη τῆς ἐπανόδου τοῦ λειψάνου Βαρθολομαίου τοῦ ἀποστόλου.

26. Ἀδριανοῦ καὶ Ναταλίας τῶν μαρτύρων.

27. Ποιμένος ὁσίου.

28. Μωϋσέως τοῦ Αἰθίοπος, ὁσίου.

29. † Ἡ ἀποτομὴ τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου.

30. Ἀλεξάνδρου, Ἰωάννου καὶ Παύλου τοῦ νέου, πατριαρχῶν Κπόλεως.

31. ∗ Ἡ κατάθεσις τῆς τιμίας ζώνης τῆς Θεοτόκου.



Β΄. ΚΙΝΗΤΩΝ ΕΟΡΤΩΝ

Τριῳδίου

Σάββατον τῆς Τυρινῆς: Πάντων τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν τῶν ἐν ἀσκήσει διαλαμψάντων.

Σάββατον τῆς Α΄ Κυριακῆς τῶν Νηστειῶν: Θεοδώρου τοῦ τήρωνος, μεγαλομάρτυρος, οὗ τὸ διὰ κολλύβων παράδοξον θαῦμα ἑορτάζομεν.

Σάββατον τοῦ Λαζάρου: Ἡ ἐκ νεκρῶν ἔγερσις τοῦ ἁγίου καὶ δικαίου Λαζάρου τοῦ τετραημέρου.

Πεντηκοσταρίου

Κυριακὴ τοῦ Θωμᾶ: Ἡ ψηλάφησις τοῦ ἀποστόλου Θωμᾶ.

Κυριακὴ τῶν Μυροφόρων: Τῶν ἁγίων καὶ ἐνδόξων μυροφόρων γυναικῶν, Ἰωσὴφ τοῦ ἀπὸ Ἀριμαθαίας καὶ Νικοδήμου τοῦ βουλευτοῦ.

Κυριακὴ τῶν ἁγίων Πατέρων: Τῶν ὁσίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων Πατέρων τῶν ἐν τῇ πρώτῃ Συνόδῳ ἐν Νικαίᾳ συνελθόντων.

Α΄ Κυριακὴ τοῦ Ματθαίου: Τῶν Ἁγίων Πάντων.

Β΄ Κυριακὴ τοῦ Ματθαίου: Πάντων τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν τῶν ἐν τῷ Ἁγιωνύμῳ Ὄρει ἐν ἀσκήσει διαλαμψάντων.

Γ΄ Κυριακὴ τοῦ Ματθαίου: Πάντων τῶν ἁγίων καὶ ἐνδόξων νεομαρτύρων.

Στίχοι ἱκετικοί·

Ἱκετεύω σε Χριστέ μου, δέξαι μου τὸν πόνον τοῦτον,
ὥσπερ λογικὴν θυσίαν ἣν προσάγω σοι ἐκ πόθου·
πάντας δὲ τοὺς θύοντάς σε πλῆσον Πνεύματος Ἁγίου.

Ὁ ἐπιμελητὴς τοῦ παρόντος

Περιεχόμενα

Παράρτημα

Σελιδοποίησις: Ἱερὰ Μονὴ Σίμωνος Πέτρας.
Στοιχειοθεσία-Ἐκτύπωσις - βιβλιοδεσία: Γραφικαὶ τέχναι «ΜΕΛΙΣΣΑ»,
Ἀσπροβάλτα Θεσσαλονίκης.

Σχέδια καὶ ἐπίτιτλα ἐκ τοῦ ἀρχείου τῆς Ἱερᾶς Μονῆς.

Α΄ Ἔκδοσις: Φεβρουάριος 1992, Β΄ Ἔκδοσις: Σεπτέμβριος 1992
Γ΄ Ἔκδοσις: Δεκέμβριος 1997, Δ΄ Ἔκδοσις: Μάϊος 2001
Ε΄ Ἔκδοσις: Δεκέμβριος 2001, ΣΤ΄ Ἔκδοσις: Ἰούνιος 2004
Ζ΄ Ἔκδοσις: Σεπτέμβριος 2008, Η΄ Ἔκδοσις: Ἰούνιος 2010
Θ΄ Ἔκδοσις: Δεκέμβριος 2013, Ι΄ Ἔκδοσις: Δεκέμβριος 2017
ΙΑ΄ Ἔκδοσις: Ἰούλιος 2021, ΙΒ΄ Ἔκδοσις: Νοέμβριος 2024

SET 978-960-8474-40-6
ISBN 978-960-8474-41-3

Κεντρικὴ διάθεσις:
Ἱερὸν Κοινόβιον Εὐαγγελισμοῦ
630 71 ΟΡΜΥΛΙΑ

ΛΕΙΤΟΥΡΓΙΚΑΙ ΕΚΔΟΣΕΙΣ
ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΣΙΜΩΝΟΣ ΠΕΤΡΑΣ

1. **ΙΕΡΟΔΙΑΚΟΝΙΚΟΝ**, περιέχον ἅπασαν τὴν διάταξιν τῆς ἱεροδιακονίας εἰς τὸν ἑσπερινόν, τὸν ὄρθρον καὶ εἰς τὰς τρεῖς θείας Λειτουργίας, ὡς καὶ εἰς ἑτέρας ἱερὰς ἀκολουθίας καὶ τελετάς.

2. **ΙΕΡΑΤΙΚΟΝ Α΄**, Ἡ Θεία Λειτουργία τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.

3. **ΙΕΡΑΤΙΚΟΝ Β΄**, Ἡ Θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου.

4. **ΙΕΡΑΤΙΚΟΝ Γ΄**, Ἡ Θεία Λειτουργία τῶν Προηγιασμένων.

5. **ΣΥΛΛΕΙΤΟΥΡΓΙΚΟΝ**, ἤτοι ἡ τάξις Ἀναγνώστου καὶ Ψάλτου.

6. **ΠΡΟΕΣΤΩΤΙΚΟΝ**, περιέχον ἅπαντα τὰ ἐν ταῖς ἱεραῖς ἀκολουθίαις τῷ προεστῶτι ἀνήκοντα.

7. **ΕΥΧΟΛΟΓΙΟΝ Α΄**, **Ἁγιασματάριον**, περιέχον τὰς ἀκολουθίας τοῦ Μικροῦ Ἁγιασμοῦ, τοῦ Εὐχελαίου, ὡς καὶ διαφόρους περιστατικὰς εὐχάς.

8. **ΕΥΧΟΛΟΓΙΟΝ Β΄**, **Σχηματολόγιον**, περιέχον τὰς ἀκολουθίας τοῦ Ἁγίου Βαπτίσματος, τῆς Μοναχικῆς Κουρᾶς, ὡς καὶ τὰς εὐχὰς τοῦ Ἑσπερινοῦ τῆς ἁγίας Πεντηκοστῆς.

9. **ΕΥΧΟΛΟΓΙΟΝ Γ΄**, **Ἐξοδιαστικόν**, περιέχον ἁπάσας τὰς νεκρωσίμους ἀκολουθίας καὶ τὰ μνημόσυνα, ὡς καὶ διαφόρους συγχωρητικὰς εὐχάς.

10. **ΕΥΧΟΛΟΓΙΟΝ Δ΄**, **Ἐγκαινιαστικόν**, περιέχον τὴν τάξιν τῶν Ἐγκαινίων τοῦ ναοῦ, ὡς καὶ τὰς συναφεῖς τάξεις καὶ ἀκολουθίας.

11. ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΙΚΡΟΥ ΑΓΙΑΣΜΟΥ, καὶ ἕτεραι συναφεῖς περιστατικαὶ εὐχαί. (Ἀνάτυπον ἐκ τοῦ Εὐχολογίου Α΄, ἤτοι Ἁγιασματαρίου).

12. ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΥΧΕΛΑΙΟΥ, καὶ ἕτεραι συναφεῖς περιστατικαὶ εὐχαί. (Ἀνάτυπον ἐκ τοῦ Εὐχολογίου Α΄, ἤτοι Ἁγιασματαρίου).

13. ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΝΗΜΟΣΥΝΟΥ, καὶ ἕτεραι συναφεῖς περιστατικαὶ εὐχαί. (Ἀνάτυπον ἐκ τοῦ Εὐχολογίου Γ΄, ἤτοι Ἐξοδιαστικοῦ).

14. ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΞΟΔΙΑΣΤΙΚΟΥ ΤΩΝ ΜΟΝΑΧΩΝ, καὶ ἕτεραι συναφεῖς περιστατικαὶ εὐχαί. (Ἀνάτυπον ἐκ τοῦ Εὐχολογίου Γ΄, ἤτοι Ἐξοδιαστικοῦ).

15. ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ, καὶ ἕτεραι συναφεῖς περιστατικαὶ εὐχαί. (Ἀνάτυπον ἐκ τοῦ Εὐχολογίου Β΄, ἤτοι Σχηματολογίου).